BYZANTINE GREEK SERIES · VOLUME 55

The Letters to Olympias

John Chrysostom

ΤΗΙ ΔΕΣΠΟΙΝΗΙ ΜΟΥ

The Letters to Olympias

With That No One Is Harmed Except by Himself

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 55 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Migne's Patrologia Graeca 52
(Paris, 1862), reprinting Montfaucon's edition

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the edition's section number where a paragraph begins.

CONTENTS

THE LETTERS TO OLYMPIAS

The First Letter: The Storm and the Helmsman 9
The Second Letter: Grief in Measure 31
The Third Letter: Despondency, the Worst of Torments 84
The Fourth Letter: Winter in Armenia 142
The Fifth Letter: The Trees in the Wind 160
The Sixth Letter: The Spring After Sickness 169
The Seventh Letter: The Conscience of the Persecutors 179
The Eighth Letter: On the Road 197
The Ninth Letter: Near Caesarea 200
The Tenth Letter: From Nicaea 202
The Eleventh Letter: A Fair Wind in Rough Seas 204
The Twelfth Letter: From Caesarea 206
The Thirteenth Letter: Arrival at Cucusus 209
The Fourteenth Letter: What Happened at Caesarea 214
The Fifteenth Letter: Virtue Is Allotted Toil 236
The Sixteenth Letter: Both Are God's Love 240
The Seventeenth Letter: The Golden Soul 244

THAT NO ONE IS HARMED EXCEPT BY HIMSELF

That No One Is Harmed Except by Himself 251

JOHN CHRYSOSTOM

ΤΗΙ ΔΕΣΠΟΙΝΗΙ ΜΟΥ

The Letters to Olympias

Chrysostom paints the storm on the Churches as a sea in tempest, sailors drowning and helmsmen helpless, yet does not despair, for God stills storms with a nod, and waits until things are past hope before he works wonders, as with the three youths in the furnace, whose persecutor became their herald. Sin alone is to be feared; all else is a fable and passes like grass. Christ himself was hunted from birth, mocked, scourged, crucified, and slandered after death, and the apostles were persecuted, yet all was set right. Olympias is to count the good beside the painful, and to write that she is free of grief.

Φέρε δὴ ἀπαντλήσω σου τῆς ἀθυμίας τὸ ἕλκος, καὶ 1
come now let-me-drain your of-the despondency the wound and
διασκεδάσω τοὺς λογισμοὺς τὸ νέφος τοῦτο συνάγοντας.
scatter the thoughts the cloud this gathering
Τί γάρ ἐστιν ὃ συγχεῖ σου τὴν διάνοιαν, καὶ
what for is-it that confounds your the mind and
λυπῇ, καὶ ἀδημονεῖς; Ὅτι ἄγριος ὁ χειμὼν ὁ τὰς
you-grieve and are-distressed that savage (is)-the storm the the
Ἐκκλησίας καταλαβὼν καὶ ζοφώδης, καὶ νύκτα ἀσέληνον
Churches having-seized and gloomy and night moonless
πάντα εἰργάσατο, καὶ καθ' ἑκάστην κορυφοῦται τὴν
all-things it-has-made and by each it-rises-to-a-head the
ἡμέραν πικρά τινα ὠδίνων ναυάγια, καὶ αὔξεται ἡ
day bitter some travailing-with shipwrecks and grows the
πανωλεθρία τῆς οἰκουμένης; Οἶδα τοῦτο κἀγὼ, καὶ οὐδεὶς
utter-ruin of-the world know this I-too and no-one
ἀντερεῖ, καὶ εἰ βούλει, καὶ εἰκόνα ἀναπλάττω τῶν
will-deny(-it) and if you-wish even (an)-image I-shape of-the
γινομένων, ὥστε σαφεστέραν σοι ποιῆσαι τὴν τραγῳδίαν.
events so-as clearer for-you to-make the tragedy
Θάλασσαν ὁρῶμεν ἀπ' αὐτῆς κάτωθεν ἀναμοχλευομένην
(a)-sea we-see from very below heaved-up

τῆς ἀβύσσου, πλωτῆρας τοῖς ὕδασι νεκροὺς ἐπιπλέοντας,
the abyss sailors on-the waters dead floating
ἑτέρους ὑποβρυχίους γενομένους, τὰς σανίδας τῶν
others under-water gone the planks of-the
πλοίων διαλυομένας, τὰ ἱστία διαῤῥηγνύμενα, τοὺς ἱστοὺς
ships coming-apart the sails torn-to-pieces the masts
διακλωμένους, τὰς κώπας τῶν χειρῶν τῶν ναυτῶν
snapped the oars from-the hands of-the sailors
ἀποπτάσας, τοὺς κυβερνήτας ἀντὶ οἰάκων ἐπὶ τῶν
flown-away the helmsmen instead-of tillers on the
καταστρωμάτων καθημένους, τὰς χεῖρας τοῖς γόνασι
decks sitting the hands about-the knees
περιπλέκοντας, καὶ πρὸς τὴν ἀμηχανίαν τῶν γινομένων
clasping and at the helplessness of-the events
κωκύοντας, ὀξέως βοῶντας, θρηνοῦντας, ὀλοφυρομένους
wailing shrilly shouting lamenting mourning
μόνον, οὐκ οὐρανὸν, οὐ πέλαγος φαινόμενον, ἀλλὰ
only no sky no sea appearing but
σκότος πάντα βαθὺ καὶ ἀφεγγὲς καὶ ζοφῶδες, ὡς οὐδὲ
darkness everywhere deep and lightless and gloomy so-as not-even
τοὺς πλησίον ἐπιτρέποντα βλέπειν, καὶ πολὺν τὸν
the(-ones) near allowing to-see and great the
πάταγον τῶν κυμάτων, καὶ θηρία θαλάττια πάντοθεν τοῖς
crash of-the waves and beasts of-the-sea from-every-side those
πλέουσιν ἐπιτιθέμενα. Μᾶλλον δὲ μέχρι τίνος διώκομεν
sailing attacking rather but until what(-point) do-we-pursue
ἀκίχητα; Οἵαν γὰρ ἂν ζητήσω τῶν παρόντων κακῶν
unattainable(-things) whatever for — I-seek of-the present evils
εἰκόνα, ἡττώμενος ὁ λόγος ἀναχωρεῖ. Ἀλλ' ὅμως καὶ
image defeated the word retreats but nevertheless even
ταῦτα ἰδὼν οὐκ ἀπογινώσκω τῆς χρηστοτέρας ἐλπίδος,
these-things having-seen not I-despair of-the better hope

τὸν κυβερνήτην τοῦδε τοῦ παντὸς ἐννοῶν, ὃς οὐ τέχνῃ
the helmsman of-this the universe considering who not by-skill
περιγίνεται τοῦ χειμῶνος, ἀλλὰ νεύματι λύει τὴν ζάλην. Εἰ
overcomes the storm but by-a-nod dissolves the surge if
δὲ μὴ ἐκ προοιμίων μηδὲ εὐθέως, ἔθος αὐτῷ τοιοῦτο,
but not from (the)-outset nor at-once (the)-custom with-him (is)-such
μὴ ἐν ἀρχῇ τὰ δεινὰ καταλύειν, ἀλλ' ὅταν αὐξηθῇ,
not at (the)-beginning the terrors to-end but when they-have-grown
καὶ πρὸς τὸ τέλος ἔλθῃ, καὶ παρὰ τῶν πλειόνων
and to the end have-come and by the majority
ἀπογνωσθῇ, τότε θαυματουργεῖ καὶ παραδοξοποιεῖ, τήν
been-despaired-of then he-works-wonders and does-marvels the
τε οἰκείαν ἐνδεικνύμενος δύναμιν, καὶ τῶν ἐμπιπτόντων
both own showing power and of-those falling-in(-to-them)
τὴν ὑπομονὴν ἐγγυμνάζων. Μὴ τοίνυν ἀναπέσῃς.
the endurance training do-not therefore lose-heart
Ἓν γὰρ μόνον ἐστὶν, Ὀλυμπιὰς, φοβερὸν, εἷς πειρασμός,
one-thing for only is Olympias fearful one trial
ἁμαρτία μόνον· καὶ τοῦτο συνεχῶς ἐπᾴδων σοι τὸ ῥῆμα οὐκ
sin only and this continually chanting to-you the saying not
ἐπαυσάμην· τὰ δὲ ἄλλα πάντα μῦθος, κἂν ἐπιβουλὰς
I-have-ceased the but other(-things) all (are)-fable even-if plots
εἴπῃς, κἂν ἀπεχθείας, κἂν δόλους, κἂν συκοφαντίας, κἂν
you-name even-if hatreds even-if deceits even-if false-accusations even-if
λοιδορίας, κἂν κατηγορίας, κἂν δημεύσεις, κἂν ἐξορίας,
abuse even-if charges even-if confiscations even-if exiles
κἂν ξίφη ἠκονημένα, κἂν πέλαγος, κἂν τὸν τῆς οἰκουμένης
even-if swords sharpened even-if (the)-sea even-if the of-the world
ἁπάσης πόλεμον. Οἷα γὰρ ἂν εἴη ταῦτα,
whole war of-whatever-kind for — they-may-be these-things
πρόσκαιρά τέ ἐστι καὶ ἐπίκηρα, καὶ ἐν θνητῷ γενόμενα
temporary both are and perishable and in (a)-mortal happening

σώματι, καὶ τὴν νήφουσαν οὐδὲν παραβλάπτοντα ψυχήν.
body and the sober in-nothing harming soul
Διά τοι τοῦτο καὶ τῶν χρηστῶν καὶ τῶν λυπηρῶν τῶν
for surely this(-reason) both of-the good(-things) and of-the painful(-things) those
κατὰ τὸν παρόντα βίον τὸ εὐτελὲς ὁ μακάριος Παῦλος
in the present life the cheapness the blessed Paul
δεῖξαι βουλόμενος μιᾷ λέξει τὸ πᾶν ἐνέφηνεν, εἰπών· Τὰ
to-show wishing in-one word the whole revealed saying the(-things)
γὰρ βλεπόμενα πρόσκαιρα. Τί τοίνυν τὰ πρόσκαιρα
for seen (are)-temporary why therefore the temporary(-things)
δέδοικας, τὰ ποταμίων ῥευμάτων δίκην παραῤῥέοντα;
do-you-fear the(-things) of-river currents like flowing-past
Τοιαῦτα γὰρ τὰ παρόντα, κἂν χρηστὰ ᾖ, κἂν
such for (are)-the present(-things) whether good they-be or
λυπηρά. Προφήτης δὲ ἕτερος ἅπασαν τὴν ἀνθρωπίνην
painful (a)-prophet and another all the human
εὐημερίαν οὐ χόρτῳ, ἀλλ' ἑτέρᾳ ὕλῃ εὐτελεστέρᾳ
prosperity not to-grass but to-another stuff cheaper
παρέβαλεν, ἄνθος αὐτὴν ὀνομάσας χόρτου πᾶσαν ὁμοῦ.
compared (the)-flower it naming of-grass all together
Οὐδὲ γὰρ μέρος αὐτῆς ἔθηκεν, οἷον πλοῦτον μόνον, ἢ
nor for (a)-part of-it he-set-down such-as wealth only or
τρυφὴν μόνον, ἢ δυναστείαν, ἢ τιμάς· ἀλλὰ πάντα τὰ
luxury only or power or honors but all the(-things)
ἐν ἀνθρώποις δοκοῦντα εἶναι λαμπρὰ μιᾷ προσηγορίᾳ
among men seeming to-be splendid in-one name
τῇ τῆς δόξης περιλαβὼν, οὕτως ἐπήγαγε τὴν εἰκόνα τοῦ
that of-the glory embracing thus he-added the image of-the
χόρτου, εἰπών· Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου.
grass saying all (the)-glory of-man (is)-as (the)-flower of-grass

Ἀλλ᾽ ἡ δυσημερία δεινὸν καὶ βαρύ. Ἀλλ᾽ ὅρα 2
but the misfortune (is)-a-terrible(-thing) and heavy but see
καὶ ταύτην πάλιν ἑτέρᾳ παραβαλλομένην εἰκόνι, καὶ
also this again to-another compared image and
καταφρόνει καὶ ταύτης. Τὰς γὰρ λοιδορίας, καὶ τὰς
despise also it the for abuse and the
ὕβρεις, καὶ τὰ ὀνείδη, καὶ τὰ σκώμματα τὰ παρὰ τῶν
insults and the reproaches and the jeers those from the
ἐχθρῶν, καὶ τὰς ἐπιβουλὰς ἱματίῳ παλαιωθέντι καὶ ἐρίῳ
enemies and the plots to-a-garment grown-old and to-wool
διαβρωθέντι παρεικάζων, ἔλεγεν· Ὀνειδισμὸν ἀνθρώπων
eaten-through likening he-said (the)-reproach of-men
μὴ φοβεῖσθε καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε,
do-not fear and by-the contempt of-them do-not be-overcome
ὅτι ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ ἔριον ὑπὸ
for as (a)-garment they-will-grow-old and like wool by
σητὸς, οὕτω βρωθήσονται. Μηδέν σε τοίνυν ταραττέτω
(the)-moth so they-will-be-eaten nothing you therefore let-trouble
τῶν γινομένων, ἀλλ᾽ ἀφεῖσα τὸν δεῖνα καὶ τὸν δεῖνα
of-the events but leaving-off the so-and-so and the so-and-so
παρακαλεῖν, καὶ τὰς σκιὰς παρατρέχειν (τοῦτο γὰρ
to-entreat and the shadows to-run-after this for
ἡ ἀνθρωπίνη συμμαχία), τὸν Ἰησοῦν, ᾧ λατρεύεις,
(is)-the human alliance — Jesus whom you-serve
ἐνδελεχῶς παρακάλει νεῦσαι μόνον· καὶ πάντα ἐν μιᾷ
constantly entreat to-nod only and all-things in one
καιροῦ λύεται ῥοπῇ. Εἰ δὲ παρεκάλεσας, καὶ οὐκ ἐλύθη,
of-time are-loosed moment if but you-entreated and not it-was-loosed
τοιοῦτον τῷ Θεῷ ἔθος, μὴ ἐκ προοιμίων (τὸν
such — with-God (is-the)-custom not from (the)-outset the
γὰρ ἔμπροσθεν ἀναλήψομαι λόγον) καταλύειν τὰ δεινὰ,
for earlier I-will-take-up word to-end the terrors

ἀλλ᾽ ὅταν κορυφωθῇ, ὅταν αὐξηθῇ, ὅταν σχεδὸν μηδὲν
but when they-come-to-a-head when they-grow when almost nothing
ὑπολελειμμένον ᾖ τῆς τῶν πολεμούντων κακίας, τότε
left is of-the of-those warring wickedness then
ἀθρόον πάντα μεταβάλλειν ἐπὶ τὸ γαληνὸν, καὶ πρὸς
all-at-once all-things to-change to the calm and to
ἀπροσδοκήτους τινὰς καταστάσεις αὐτὰ πραγμάτων ἄγειν.
unexpected some settlements them of-affairs to-bring
Οὐ γὰρ τοσαῦτα δύναται μόνον ποιῆσαι χρηστὰ, ὅσα
not for so-many he-can only do good(-things) as
προσδοκῶμεν καὶ ἐλπίζομεν, ἀλλὰ καὶ πολλῷ πλείονα,
we-expect and hope but even far more
καὶ ἀπείρως μείζονα. Διὸ καὶ Παῦλος ἔλεγε· Τῷ
and infinitely greater therefore also Paul said to-him
δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι, ὑπὲρ ἐκ περισσοῦ
and being-able beyond all-things to-do beyond out of-abundance
ὧν αἰτούμεθα ἢ νοοῦμεν. Μὴ γὰρ οὐκ ἠδύνατο
(than)-what we-ask or think (was-it)-that for not could-be
ἐκ προοιμίων κωλῦσαι τοὺς παῖδας τοὺς τρεῖς εἰς τὸν
from (the)-outset prevent the youths the three into the
πειρασμὸν ἐκεῖνον μὴ ἐμπεσεῖν; Ἀλλ᾽ οὐκ ἠβουλήθη πολλὴν
trial that not to-fall but not he-willed(-it) great
αὐτοῖς συνάγων τὴν ἐμπορίαν. Διὰ τοῦτο ἀφῆκε καὶ
for-them gathering the gain for this(-reason) he-allowed both
χερσὶν αὐτοὺς βαρβαρικαῖς παραδοθῆναι, καὶ τὴν κάμινον
to-hands them barbarian to-be-handed-over and the furnace
ἐξαφθῆναι πρὸς ὕψος ἄφατον, καὶ τὴν βασιλικὴν ὀργὴν
to-be-kindled to (a)-height unspeakable and the royal wrath
τῆς καμίνου χαλεπώτερον ἐκκαῆναι, καὶ χεῖρας δεθῆναι
than-the furnace more-fiercely to-blaze-up and hands to-be-bound
καὶ πόδας μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ εἰς τὸ
and feet with much the violence and into the

πῦρ ἐμβληθῆναι· καὶ ὅτε πάντες οἱ θεωροῦντες αὐτοὺς
fire to-be-cast and when all those watching them
ἀπέγνωσαν αὐτῶν τὴν σωτηρίαν, τότε ἀθρόον καὶ παρ᾽
despaired-of their the safety then all-at-once and beyond
ἐλπίδα πᾶσαν ἀνεφαίνετο ἡ θαυματοποιία τοῦ ἀριστοτέχνου
hope all appeared the wonder-working of-the supreme-artist
Θεοῦ, καὶ μετὰ πολλῆς ἐξέλαμπε τῆς ὑπερβολῆς. Τὸ μὲν
God and with much it-shone-out the excess the indeed
γὰρ πῦρ ἐδεσμεῖτο, οἱ δεσμῶται δὲ ἐλύοντο· καὶ ναὸς
for fire was-bound the prisoners but were-loosed and (a)-temple
εὐκτήριος ἡ κάμινος ἐγένετο καὶ πηγὴ, καὶ δρόσος, καὶ
of-prayer the furnace became and (a)-spring and dew and
αὐλῶν βασιλικῶν σεμνοτέρα, καὶ τὴν παμφάγον οὐσίαν
than-courts royal more-august and the all-devouring substance
ἐκείνην, καὶ σιδήρου, καὶ λίθων περιγινομένην, καὶ πάσης
that both iron and stones overcoming and all
κρατοῦσαν ὕλης, τριχῶν ἐνίκα φύσις.
mastering matter of-hair conquered (the)-nature
Καὶ χορὸς ἵστατο παναρμόνιος αὐτόθι τῶν ἁγίων ἐκείνων
and (a)-choir stood all-harmonious there of-the saints those
ἑκατέραν τὴν κτίσιν εἰς τὴν θαυμασίαν ταύτην καλούντων
each the creation to the wonderful this calling
μελῳδίαν· ᾖδόν τε εὐχαριστηρίους ἀναπέμποντες ὕμνους
melody they-sang and thankful sending-up hymns
ὑπὲρ ὧν ἐδέθησαν, ὑπὲρ ὧν ἐκάησαν, τό γε ἐχθρῶν
for what they-were-bound for what they-were-burned the at-least of-enemies
μέρος, ὑπὲρ ὧν πατρίδος ἐξέπεσον, ὑπὲρ ὧν αἰχμάλωτοι
part for what from-fatherland they-were-cast-out for what captives
γεγόνασιν, ὑπὲρ ὧν τὴν ἐλευθερίαν ἀφῃρέθησαν, ὑπὲρ
they-have-become for what the freedom they-were-robbed-of for
ὧν ἀπόλιδες, ἄοικοι καὶ μετανάσται ἐγένοντο, ὑπὲρ ὧν
what cityless homeless and wanderers they-became for what

ἐν ἀλλοτρίᾳ καὶ βαρβάρῳ διέτριβον γῇ· τοῦτο γὰρ
in (a)-foreign and barbarian they-lived land this for
ψυχῆς εὐγνώμονος. Καὶ ἐπειδὴ καὶ τὰ τῆς κακίας
(is)-of-a-soul grateful and when both the(-works) of-the wickedness
τῶν πολεμούντων ἀπήρτιστο (τί γὰρ μετὰ θάνατον
of-those warring had-been-completed what for after death
λοιπὸν ἐπιχειρῆσαι ἠδύναντο;), καὶ τὰ τῶν ἀθλητῶν
further to-attempt could-they and the(-part) of-the athletes
ἐπεπλήρωτο, καὶ ὁ στέφανος ἐπλάκη, καὶ τὰ βραβεῖα
had-been-fulfilled and the crown was-woven and the prizes
αὐτοῖς συνελέγη, καὶ οὐδὲν λοιπὸν ἔλειπεν εἰς εὐδοκίμησιν·
for-them were-gathered and nothing further was-lacking for renown
τότε δὴ τὰ δεινὰ λύεται, καὶ ὁ τὴν κάμινον
then indeed the terrors are-loosed and he(-who) the furnace
ἐνάψας καὶ τοσαύτῃ παραδοὺς τιμωρίᾳ, οὗτος
having-kindled and to-such having-handed-over punishment this(-man)
θαυμαστὸς ἐπαινέτης τῶν ἁγίων ἐκείνων ἀθλητῶν γίνεται,
(a)-wonderful praiser of-the saintly those athletes becomes
καὶ κῆρυξ τῆς τοῦ Θεοῦ παραδοξοποιίας, καὶ πανταχοῦ
and (a)-herald of-the — of-God marvel-working and everywhere
τῆς οἰκουμένης ἐκπέμπει γράμματα πολλῆς γέμοντα
of-the world sends-out letters much full-of
εὐφημίας, διηγούμενος τὰ γεγενημένα, καὶ ἀξιόπιστος
praise recounting the(-things) having-happened and (a)-trustworthy
γινόμενος κῆρυξ τῶν τοῦ παραδοξοποιοῦ Θεοῦ θαυμάτων.
becoming herald of-the of-the marvel-working God wonders
Ἐπειδὴ γὰρ ἐχθρὸς ἦν καὶ πολέμιος, ἀνύποπτα λοιπὸν
since for (an)-enemy he-was and (a)-foe unsuspected then
καὶ παρὰ τοῖς ἐχθροῖς τὰ γραφόμενα ἦν.
even among the enemies the(-things) written were

Εἶδες τὸ εὐμήχανον τοῦ Θεοῦ; εἶδες τὸ σοφόν; εἶδες τὸ 3
did-you-see the resourcefulness — of-God did-you-see the wisdom did-you-see the
παράδοξον; εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικόν; Μὴ
marvel did-you-see the love-for-mankind and care do-not
τοίνυν θορυβοῦ, μηδὲ ταράττου, ἀλλὰ μένε διηνεκῶς ὑπὲρ
therefore be-alarmed nor be-troubled but remain continually for
πάντων τῷ Θεῷ εὐχαριστοῦσα, δοξολογοῦσα, παρακαλοῦσα,
all-things — God thanking glorifying entreating
δεομένη, ἱκετεύουσα· κἂν μυρίοι θόρυβοι, κἂν μυρίαι
beseeching imploring even-if countless alarms even-if countless
ταραχαὶ ἐπίωσι, κἂν καταιγίδες ἐπ᾽ ὄψιν χέωνται,
troubles come-on even-if tempests in (your)-face pour
μηδέν σε τούτων ταραττέτω. Οὐ γὰρ προλαμβάνεται ἡμῖν
nothing you of-these let-trouble not for is-forestalled for-us
ὁ Δεσπότης ὑπὸ τῆς τῶν πραγμάτων δυσκολίας, κἂν εἰς
the Master by the of-the affairs difficulty even-if into
ἔσχατον ὄλεθρον πάντα κατενεχθῇ. Δυνατὸν γὰρ αὐτῷ
utter ruin all-things be-brought-down possible for (it-is)-for-him
καὶ τοὺς πεπτωκότας ἐγεῖραι, καὶ τοὺς πεπλανημένους
both the(-ones) fallen to-raise and the(-ones) gone-astray
ἐπιστρέψαι, καὶ τοὺς σκανδαλισθέντας διορθῶσαι, καὶ
to-turn-back and the(-ones) scandalized to-set-right and
τοὺς μυρίων πληρωθέντας ἁμαρτημάτων ἀπαλλάξαι
the(-ones) with-countless filled sins to-free
καὶ δικαίους ποιῆσαι, καὶ τοὺς νεκρωθέντας ζωογονῆσαι,
and righteous to-make and the(-ones) made-dead to-bring-to-life
καὶ κατασκαφέντα λαμπρότερα ἐργάσασθαι, καὶ τὰ
and (things)-razed more-splendid to-make and the(-things)
παλαιωθέντα ἀνανεῶσαι. Εἰ γὰρ τὰ μὴ ὄντα ποιεῖ
grown-old to-renew if for the(-things) not being he-makes
γενέσθαι, καὶ τοῖς μηδαμοῦ μηδαμῶς φαινομένοις
to-come-to-be and on-the(-things) nowhere in-no-way appearing

χαρίζεται τὸ εἶναι, πολλῷ μᾶλλον τὰ ὄντα καὶ
bestows the being far more the(-things) being and
γενομένα διορθώσεται. Ἀλλὰ πολλοὶ οἱ ἀπολλύμενοι,
having-been he-will-set-right but many (are)-those perishing
πολλοὶ οἱ σκανδαλιζόμενοι; Πολλὰ πολλάκις καὶ ἤδη
many those scandalized many-things often and already
τοιαῦτα γέγονεν, ἀλλ' ὕστερον τὴν προσήκουσαν ἔλαβε
such have-happened but later the fitting received
πάντα διόρθωσιν, πλὴν εἰ μή τινες ἀνιάτως ἔμειναν
all-things correction except if not some incurably remained
ἔχοντες καὶ μετὰ τὴν τῶν πραγμάτων μεταβολήν. Τί
having(-it) even after the of-the affairs change why
ταράττῃ, καὶ ἀλύεις, εἰ ὁ δεῖνα ἐκβέβληται, καὶ ὁ
are-you-troubled and distraught if the so-and-so has-been-cast-out and the
δεῖνα εἰσενήνεκται; Ὁ Χριστὸς ἐσταυροῦτο, καὶ Βαραββᾶς
so-and-so has-been-brought-in — Christ was-being-crucified and Barabbas
ὁ λῃστὴς ἐξῃτεῖτο, καὶ ὁ διεφθαρμένος ἐβόα δῆμος,
the robber was-being-begged-for and the corrupted shouted people
τὸν ἀνδροφόνον τοῦ Σωτῆρος καὶ εὐεργέτου δεῖν
the murderer than-the Savior and benefactor (it-was)-needful
μᾶλλον σωθῆναι. Πόσους νομίζεις ταῦτα ἐσκανδάλισε
rather to-be-saved how-many do-you-think these-things scandalized
τότε; πόσους ταῦτα τέως ἀπώλεσε; Μᾶλλον δὲ ἀνώτερον
then how-many these-things for-a-time destroyed rather but further-back
τὸν λόγον ἀναγκαῖον ἀγαγεῖν. Οὐκ εὐθέως τεχθεὶς οὗτος
the word (it-is)-needful to-lead not at-once born this
ὁ σταυρωθεὶς, μετανάστης ἐγίνετο καὶ φυγὰς καὶ μετὰ
the crucified(-one) (an)-exile became and (a)-fugitive and with
ὁλοκλήρου τῆς οἰκίας πρὸς τὴν ἀλλοτρίαν ἐξ αὐτῶν
whole the household to the foreign(-land) from very
σπαργάνων ἀπῳκίζετο, διάστημα ὁδοῦ τοσοῦτον εἰς
swaddling-clothes was-sent-away (a)-distance of-road so-great into

βάρβαρον ἀπαγόμενος χώραν; Καὶ αἱμάτων ῥύακες ἐκ τῆς
(a)-barbarian being-led country and of-blood streams from the
ὑποθέσεως ταύτης ἐγίνοντο, καὶ φόνοι ἄδικοι, καὶ σφαγαὶ,
occasion this came-about and murders unjust and slaughters
καὶ ἡ ἄωρος ἡλικία πᾶσα καθάπερ ἐν παρατάξει καὶ
and the untimely age all as in battle-array and
πολέμῳ κατεκόπτετο, καὶ τῶν μαζῶν ἀποσπώμενοι οἱ
war was-cut-down and from-the breasts torn-away the
παῖδες σφαγῇ παρεδίδοντο, καὶ ἔτι τοῦ γάλακτος ἐπὶ τοῦ
children to-slaughter were-handed-over and still the milk on the
φάρυγγος ὄντος, διὰ τοῦ λαιμοῦ καὶ τῆς δέῤῥης τὸ ξίφος
throat being through the gullet and the neck the sword
ἠλαύνετο. Τί ταύτης χαλεπώτερον τραγῳδίας; Καὶ ταῦτα
was-driven what than-this more-grievous tragedy and these-things
ἔπραττεν ὁ ζητῶν αὐτὸν ἀνελεῖν, καὶ ὁ μακρόθυμος
did the(-one) seeking him to-destroy and the long-suffering
Θεὸς ἠνείχετο τοιαύτης τολμωμένης τραγῳδίας, τοσούτου
God endured such being-dared tragedy so-much
ῥέοντος αἵματος, καὶ ἠνείχετο κωλῦσαι δυνάμενος, ἀπορῥήτῳ
flowing blood and endured to-prevent being-able by-ineffable
τινὶ σοφίᾳ τὴν τοσαύτην ἐπιδεικνύμενος μακροθυμίαν.
some wisdom the so-great showing long-suffering
Ἐπειδὴ δὲ ἐπανῆλθεν ἀπὸ τῆς βαρβάρου χώρας, καὶ ηὐξήθη,
when but he-returned from the barbarian country and grew-up
πόλεμος αὐτῷ πανταχόθεν ἀνεῤῥιπίζετο. Καὶ πρῶτον
war against-him from-every-side was-fanned-up and first
μὲν οἱ Ἰωάννου μαθηταὶ διεφθόνουν, καὶ ἐβάσκαινον,
indeed the of-John disciples envied and begrudged(-him)
καίτοι γε ἐκείνου τὰ αὐτοῦ θεραπεύοντος, καὶ
although at-least that(-one) the(-cause) his serving and
ἔλεγον, ὅτι Ὃς ἦν μετὰ σοῦ πέραν Ἰορδάνου, ἴδε
said that he-who was with you beyond Jordan behold

οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. Ταῦτα
this(-man) baptizes and all come to him these
γὰρ ὑποκνιζομένων ἦν λοιπὸν τὰ ῥήματα, καὶ φθόνῳ
for of-men-stung were then the words and by-envy
βαλλομένων, καὶ τηκομένων τῷ πάθει. Διά τοι τοῦτο
struck and wasting-away with-the passion for surely this(-reason)
καὶ μετὰ Ἰουδαίου τινὸς εἷς τῶν μαθητῶν τῶν ταῦτα
also with (a)-Jew certain one of-the disciples of-those these-things
εἰρηκότων ἐφιλονείκει, καὶ ἐπύκτευε τὸν περὶ καθαρσίων
having-said quarreled and fought the about purifications
λόγον κινῶν, καὶ βάπτισμα βαπτίσματι παραβάλλων,
word moving and baptism with-baptism comparing
τὸ Ἰωάννου τῷ τῶν μαθητῶν τοῦ Χριστοῦ. Ἐγένετο
the(-one) of-John with-that of-the disciples — of-Christ there-arose
γὰρ, φησὶν, ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου
for he-says from the disciples of-John with (a)-Jew
τινὸς ζήτησις περὶ καθαρισμοῦ. Ἐπειδὴ δὲ καὶ τῶν
certain (a)-questioning about purification when and also the
σημείων ἥψατο, πόσαι συκοφαντίαι; Οἱ μὲν Σαμαρείτην
miracles he-took-up how-many false-accusations some indeed (a)-Samaritan
ἐκάλουν καὶ δαιμονῶντα, λέγοντες, ὅτι Σαμαρείτης εἶ σὺ,
called(-him) and demon-possessed saying that (a)-Samaritan are you
καὶ δαιμόνιον ἔχεις· οἱ δὲ πλάνον, λέγοντες, Οὗτος οὐκ
and (a)-demon you-have others and (a)-deceiver saying this(-man) not
ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον· οἱ δὲ γόητα,
is from — God but deceives the crowd others and (a)-sorcerer
λέγοντες, ὅτι Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων τῷ Βεελζεβοὺλ
saying that by the ruler of-the demons — Beelzebul
ἐκβάλλει τὰ δαιμόνια· καὶ συνεχῶς ταῦτα ἐπέλεγον, καὶ
he-casts-out the demons and continually these-things they-added and
ἀντίθεον ὠνόμαζον, καὶ γαστρίμαργον, καὶ ἀδηφάγον,
(an)-enemy-of-God named(-him) and (a)-glutton and voracious

καὶ μέθυσον, καὶ πονηρῶν καὶ διεφθαρμένων φίλον. Ἦλθε
and (a)-drunkard and of-wicked and corrupted(-men) (a)-friend came
γὰρ, φησὶν, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ
for he-says the Son of-the man eating and drinking and
λέγουσιν, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν
they-say behold (a)-man gluttonous and (a)-wine-drinker of-tax-collectors
φίλος καὶ ἁμαρτωλῶν. Καὶ ὅτε δὲ τῇ πόρνῃ διελέγετο,
(a)-friend and of-sinners and when too with-the harlot he-spoke
ψευδοπροφήτην αὐτὸν ἐκάλουν· Εἰ γὰρ ἦν προφήτης,
(a)-false-prophet him they-called if for he-were (a)-prophet
φησὶν, ᾔδει τίς ἐστιν ἡ γυνὴ αὕτη ἡ λαλοῦσα
he-says he-would-know who is the woman this the(-one) speaking
αὐτῷ· καὶ καθ' ἑκάστην ἡμέραν τοὺς ὀδόντας ἠκόνων
to-him and by each day the teeth they-sharpened
κατ' αὐτοῦ. Καὶ οὐκ Ἰουδαῖοι μόνον οὕτως ἐπολέμουν
against him and not Jews only thus warred
αὐτῷ, ἀλλ' οὐδὲ αὐτοὶ οἱ δοκοῦντες εἶναι ἀδελφοὶ ὑγιῶς
on-him but not-even very those seeming to-be brothers soundly
εἶχον πρὸς αὐτὸν, ἀλλὰ καὶ ἐκ τῶν οἰκείων ὁ
were-disposed toward him but even from the(-ones) of-his-own-house the
πόλεμος αὐτῷ ἀνερρίπίζετο. Ὅρα γοῦν, πῶς καὶ αὐτοὶ
war against-him was-fanned-up see at-least how also they
ἦσαν διεφθαρμένοι, ἐξ ὧν καὶ ὁ εὐαγγελιστὴς ἐπάγων
were corrupted from which also the evangelist adding
ἔλεγεν· Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν.
said not-even for the brothers his believed in him
Ἀλλ' ἐπειδὴ σκανδαλιζομένων μέμνησαι πολλῶν 4
but since of-scandalized you-make-mention many
καὶ πλανωμένων, πόσους οἴει κατὰ τὸν καιρὸν
and of-misled how-many do-you-think at the time
τοῦ σταυροῦ σκανδαλισθῆναι τῶν μαθητῶν; Ὁ μὲν
of-the cross to-have-been-scandalized of-the disciples one indeed

προέδωκεν, οἱ δὲ ἐδραπέτευσαν, ὁ δὲ ἠρνήσατο, καὶ
betrayed(-him) others but ran-away one but denied(-him) and
πάντων ἀναχωρησάντων ἤγετο μόνος δεδεμένος. Πόσους
all having-withdrawn he-was-led alone bound how-many
τοίνυν οἴει πρώην ἑωρακότας τὰ σημεῖα αὐτὸν
therefore do-you-think lately having-seen the miracles him
ἐργαζόμενον, νεκροὺς ἐγείροντα, λεπροὺς καθαίροντα,
working dead raising lepers cleansing
δαίμονας ἀπελαύνοντα, ἄρτους πηγάζοντα, τὰ ἄλλα
demons driving-out loaves making-spring the other
τεράστια ἐργαζόμενον, σκανδαλισθῆναι κατὰ τὸν καιρὸν
wonders working to-have-been-scandalized at the time
ἐκεῖνον, θεωροῦντας μόνον ἀπαγόμενον καὶ δεδεμένον,
that seeing (him)-alone led-away and bound
εὐτελῶν αὐτὸν στρατιωτῶν περιστοιχιζόντων, καὶ ἱερέων
worthless him soldiers surrounding and priests
Ἰουδαϊκῶν ἑπομένων καὶ θορυβούντων καὶ ταραττόντων,
Jewish following and clamoring and stirring-up
καὶ τοὺς ἐχθροὺς ἅπαντας μόνον ἐν μέσῳ ἔχοντας
and the enemies all only in (the)-middle having
ἀπειλημμένον αὐτὸν, καὶ τὸν προδότην παρόντα καὶ
caught him and the traitor present and
ἐναβρυνόμενον τέως; Τί δὲ, ἡνίκα ἐμαστιγοῦτο; Καὶ
exulting for-the-while what and when he-was-scourged and
εἰκὸς παρεῖναι πλῆθος ἄπειρον. Ἑορτὴ γὰρ ἦν
(it-is)-likely to-have-been-present (a)-crowd boundless (a)-feast for it-was
περιφανὴς ἡ πάντας συνάγουσα, καὶ μητρόπολις
famous the(-one) all gathering and (the)-mother-city
ἡ τὸ δρᾶμα τῆς παρανομίας δεξαμένη, καὶ ἐν
the(-one) the drama of-the lawlessness having-received and in
μεσημβρίᾳ μέσῃ. Πόσους τοίνυν οἴει παρεῖναι
midday mid how-many therefore do-you-think to-have-been-present

τότε καὶ σκανδαλίζεσθαι, ὁρῶντας αὐτὸν δεδεμένον,
then and to-have-been-scandalized seeing him bound
μεμαστιγωμένον, αἵματι περιῤῥεόμενον, ὑπὸ ἡγεμονικοῦ
scourged with-blood streaming by (the)-governor's
δικαστηρίου ἐξεταζόμενον, καὶ οὐδένα τῶν μαθητῶν
court examined and none of-the disciples
παρόντα; Τί δὲ, ἡνίκα καὶ ποικίλαι ἐκεῖναι καὶ συνεχεῖς
present what and when both varied those and continuous
καὶ ἐπάλληλοι ἐγένοντο κατ' αὐτοῦ κωμῳδίαι, καὶ ποτὲ
and one-on-another took-place against him mockeries and at-one-time
μὲν αὐτὸν ἀκάνθαις ἐστεφάνουν, ποτὲ δὲ χλαμύδα
indeed him with-thorns they-crowned at-another-time and (a)-cloak
περιετίθεσαν, ποτὲ δὲ κάλαμον ἐνεχείριζον, ποτὲ
put-around(-him) at-another-time and (a)-reed put-in-his-hand at-another-time
δὲ πίπτοντες αὐτὸν προσεκύνουν, πᾶν εἶδος χλευασίας
and falling him they-worshiped every form of-mockery
κινοῦντες καὶ γέλωτος; Πόσους οἴει σκανδαλίζεσθαι,
stirring and of-laughter how-many do-you-think to-have-been-scandalized
πόσους θορυβεῖσθαι, πόσους ταράττεσθαι, ὅτε ἐπὶ κόῤῥης
how-many to-have-been-alarmed how-many to-have-been-troubled when on (the)-temple
αὐτὸν ἔπαιον καὶ ἔλεγον, Προφήτευσον ἡμῖν, Χριστὲ, τίς
him they-struck and said prophesy to-us Christ who
ἐστιν ὁ παίσας σε; καὶ ἦγον καὶ περιῆγον,
is the(-one) having-struck you and they-led(-him) and led-around(-him)
πᾶσαν τὴν ἡμέραν εἰς τοῦτο ἀνηλίσκοντο, εἰς σκώμματα
all the day on this they-spent(-it) on jeers
καὶ λοιδορίας καὶ χλευασίαν καὶ γέλωτα ἐν μέσῳ
and abuse and mockery and laughter in (the)-middle
θεάτρῳ Ἰουδαϊκῷ; Τί δὲ, ὅτε αὐτὸν ἐῤῥάπιζεν ὁ δοῦλος
theater Jewish what and when him struck the slave
τοῦ ἀρχιερέως; τί δὲ, ὅτε τὰ ἱμάτια αὐτοῦ διεμερίζοντο οἱ
of-the high-priest what and when the garments his divided the

στρατιῶται; ἡνίκα δὲ ἐπὶ τὸν σταυρὸν ἀνήχθη γυμνὸς ἐπὶ
soldiers when and on the cross he-was-led-up naked on
τοῦ νώτου τὰς μάστιγας ἔχων, καὶ ἀνεσκολοπίζετο; Οὐδὲ
the back the scourge-marks having and was-impaled nor
γὰρ τότε οἱ ἄγριοι θῆρες ἐμαλάττοντο, ἀλλὰ μανικώτεροι
for then the savage beasts were-softened but more-frantic
μᾶλλον ἐγίνοντο, καὶ τὰ τῆς τραγῳδίας ἐπετείνετο, καὶ
rather they-became and the(-things) of-the tragedy were-intensified and
τὰ τῆς χλευασίας ηὔξετο. Οἱ μὲν γὰρ ἔλεγον· Ὁ
the(-things) of-the mockery grew some indeed for said the(-one)
καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν.
destroying the temple and in three days raising it
Οἱ δὲ ἔλεγον· Ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶσαι.
others and said others he-saved himself not he-can save
Ἄλλοι δὲ ἔλεγον· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι
others and said if (the)-Son you-are — of-God come-down
ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομέν σοι. Τί δὲ, ὅτε τῇ
from the cross and we-will-believe you what and when with-the
σπογγιᾷ χολὴν καὶ ὄξος ποτίζοντες ἐνεπαρῴνουν αὐτῷ;
sponge gall and vinegar giving-to-drink they-insulted him
τί δὲ, ὅτε οἱ λῃσταὶ ἐλοιδόρουν αὐτῷ; τί δὲ, ὅπερ καὶ
what and when the robbers reviled him what and what also
ἔμπροσθεν ἔλεγον, τὸ φρικτὸν ἐκεῖνο καὶ παρανομώτατον,
before I-said the dreadful that and most-lawless
ὅτε τὸν λῃστὴν ἐκεῖνον καὶ τοιχωρύχον καὶ μυρίων
when the robber that and housebreaker and with-countless
γέμοντα φόνων ἄξιον ἔλεγον εἶναι ἐξαιτηθῆναι μᾶλλον
full murders worthy they-said to-be to-be-begged-off rather
αὐτοῦ, καὶ λαβόντες αἵρεσιν παρὰ τοῦ δικαστοῦ τὸν
than-him and taking (the)-choice from the judge —
Βαραββᾶν προετίμησαν, οὐ σταυρῶσαι μόνον, ἀλλὰ καὶ
Barabbas they-preferred not to-crucify only but also

πονηρὰν βουλόμενοι τῷ Χριστῷ περιθεῖναι δόξαν; Ἐνόμιζον
(an)-evil wishing — on-Christ to-put-around repute they-thought
γὰρ δύνασθαι κατασκευάζειν ἐκ τούτων, ὅτι τοῦ λῃστοῦ
for to-be-able to-establish from these-things that than-the robber
χείρων ἦν, καὶ οὕτω παράνομος, ὥστε μήτε φιλανθρωπίᾳ,
worse he-was and so lawless that neither by-love-for-mankind
μήτε ἑορτῆς ἀξιώματι δύνασθαι σώζεσθαι. Πάντα γὰρ
nor of-the-feast by-the-dignity to-be-able to-be-saved all-things for
τούτου ἕνεκεν ἐποίουν, ὥστε αὐτοῦ τὴν ὑπόληψιν
of-this for-the-sake they-did that his the reputation
διαβαλεῖν· διά τοι τοῦτο καὶ τοὺς δύο λῃστὰς αὐτῷ
to-slander for surely this(-reason) also the two robbers with-him
συνεσταύρωσαν. Ἀλλ' ἡ ἀλήθεια οὐ συνεσκιάζετο, ἀλλὰ
they-crucified but the truth not was-overshadowed but
καὶ μειζόνως διέλαμπε. Καὶ τυραννίδα δὲ αὐτῷ ἐνεκάλουν
even more-greatly shone-through and of-tyranny too him they-accused
λέγοντες, Πᾶς ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι
saying every(-one) the(-one) making himself king not is
φίλος τοῦ Καίσαρος, τῷ οὐκ ἔχοντι ποῦ τὴν
(a)-friend — of-Caesar against-the(-one) not having where the
κεφαλὴν κλῖναι, τυραννίδος ἐπάγοντες ἔγκλημα. Καὶ ἐπὶ
head to-lay of-tyranny bringing (the)-charge and of
βλασφημίᾳ δὲ αὐτὸν ἐσυκοφάντουν. Ὁ μὲν γὰρ ἀρχιερεὺς
blasphemy and him they-falsely-accused the indeed for high-priest
διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ λέγων· Ἐβλασφήμησε· τί ἔτι
tore the garments his saying he-has-blasphemed what still
χρείαν ἔχομεν τῶν μαρτύρων; Ὁ δὲ θάνατος, οἵος; Οὐ
need have-we of-the witnesses the and death of-what-kind not
βίαιος; οὐ καταδίκων; οὐκ ἐπαράτων; οὐχ ὁ αἴσχιστος;
violent not of-the-condemned not of-the-accursed not the most-shameful
οὐχ ὁ τῶν τὰ ἔσχατα παρανενομηκότων, καὶ οὐκ
not the(-one) of-those the utmost having-transgressed and not

ἀξίων ὄντων οὐδὲ ἐπὶ τῆς γῆς τὴν ψυχὴν ἀφεῖναι; Τὸ δὲ
worthy being not-even on the earth the soul to-give-up the and
τῆς ταφῆς εἶδος οὐκ ἐν χάριτος πληροῦται μέρει; Ἐλθὼν
of-the burial form not in of-favor is-fulfilled (the)-part having-come
γάρ τις τὸ σῶμα αὐτοῦ ἐξῃτήσατο. Οὕτως οὐδὲ ὁ
for some(-one) the body his begged-for thus not-even the(-one)
θάπτων αὐτὸν ἦν τῶν οἰκείων, τῶν εὐεργετηθέντων,
burying him was of-the(-ones) of-his-own-house of-those benefited
τῶν μαθητῶν, τῶν τοσαύτης ἀπολελαυκότων παῤῥησίας
of-the disciples of-those such having-enjoyed freedom-of-speech
καὶ σωτηρίας, πάντων φυγάδων γενομένων, πάντων
and salvation all fugitives having-become all
ἀποπηδησάντων. Ἡ δὲ πονηρὰ ἐκείνη ὑπόληψις, ἣν
having-leapt-away the and evil that suspicion which
κατεσκεύασαν διὰ τῆς ἀναστάσεως, εἰπόντες, ὅτι Ἦλθον
they-contrived about the resurrection saying that came
οἱ μαθηταὶ αὐτοῦ καὶ ἔκλεψαν αὐτὸν, πόσους ἐσκανδάλισε,
the disciples his and stole him how-many it-scandalized
πόσους ὑπεσκέλισε τέως; Καὶ γὰρ ἐκράτησεν ὁ
how-many it-tripped-up for-the-while and for prevailed the
λόγος τότε, καίτοι γε πεπλασμένος ὢν καὶ χρημάτων
word then although at-least fabricated being and with-money
γενόμενος ὠνητός· ἀλλ᾽ ὅμως ἐκράτησε παρά τισι, μετὰ
having-become bought but nevertheless it-prevailed among some after
τὰ σήμαντρα, μετὰ τὴν περιφάνειαν τῆς ἀληθείας τὴν
the seals after the manifestation of-the truth the
τοσαύτην. Οὐδὲ γὰρ τὸν περὶ τῆς ἀναστάσεως ᾔδεσαν λόγον
so-great nor for the about the resurrection knew word
τὸ πλῆθος, ὅπου γε οὐδὲ αὐτοὶ οἱ μαθηταὶ ἠπίσταντο·
the crowd where at-least not-even very the disciples understood(-it)
Οὐδὲ γὰρ ᾔδεσαν, φησὶ, τότε, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν
nor for knew he-says then that it-must him from (the)-dead

ἀναστῆναι. Πόσους τοίνυν οἴει κατὰ τὰς ἡμέρας ἐκείνας
rise how-many therefore do-you-think in the days those
σκανδαλισθῆναι; Ἀλλ᾽ ὅμως ὁ μακρόθυμος Θεὸς ἠνείχετο,
to-have-been-scandalized but nevertheless the long-suffering God endured
τῇ οἰκείᾳ σοφίᾳ καὶ ἀπορρήτῳ πάντα οἰκονομῶν.
by-the own wisdom and ineffable all-things ordering
Εἶτα μετὰ τὰς ἡμέρας ἐκείνας πάλιν κρυπτόμενοι, 5
then after the days those again hiding
λανθάνοντες, φυγαδευόμενοι οἱ μαθηταὶ, δεδοικότες,
escaping-notice put-to-flight the disciples fearing
τρέμοντες, τόπον ἐκ τόπου συνεχῶς ἀμείβοντες, οὕτως
trembling place from place continually exchanging thus
ἐλάνθανον, καὶ μετὰ πεντήκοντα ἡμέρας ἀρξάμενοι
they-escaped-notice and after fifty days having-begun
φαίνεσθαι, καὶ σημείων ἅπτεσθαι, οὐδὲ οὕτως ἀδείας
to-appear and of-miracles to-take-up not-even so security
ἀπήλαυσαν. Ἀλλὰ καὶ μετὰ ἐκεῖνα, τὰ μυρία σκάνδαλα
they-enjoyed but even after those the countless scandals
μαστιζομένων αὐτῶν ἐγίνετο ἐν τοῖς ἀσθενεστέροις, τῆς
being-scourged they happened among the weaker(-ones) the
Ἐκκλησίας ταραττομένης, αὐτῶν ἐλαυνομένων, τῶν ἐχθρῶν
Church being-troubled they being-driven-out the enemies
κρατούντων πολλαχοῦ καὶ θορυβούντων. Ὅτε γὰρ πολλὴν
prevailing in-many-places and clamoring when for great
ἐκ τῶν σημείων ἐκτήσαντο παῤῥησίαν, τότε πάλιν
from the miracles they-had-acquired freedom-of-speech then again
ἡ τοῦ Στεφάνου τελευτὴ διωγμὸν χαλεπὸν εἰργάσατο,
the — of-Stephen death (a)-persecution grievous wrought
καὶ πάντας διέσπειρε, καὶ τὴν Ἐκκλησίαν ἐν θορύβῳ
and all scattered and the Church in alarm
κατέστησε· καὶ πάλιν ἐν φόβῳ τὰ τῶν μαθητῶν, καὶ
set and again in fear the(-things) of-the disciples and

πάλιν ἐν φυγῇ, καὶ πάλιν ἐν ἀγωνίᾳ. Καὶ οὕτω διαπαντὸς
again in flight and again in anguish and thus continually
τὰ τῆς Ἐκκλησίας ηὔξετο, ὅτε ἤνθει διὰ τῶν
the(-things) of-the Church grew when it-flourished through the
σημείων, ὅτε φαιδρὰ ἐκ προοιμίων ἐγίνετο. Καὶ ὁ μὲν
miracles when bright from (the)-outset it-became and one indeed
διὰ θυρίδος ἐχαλᾶτο, καὶ οὕτως ἐξέφυγε τοῦ ἄρχοντος
through (a)-window was-let-down and thus escaped of-the ruler
τὰς χεῖρας· τοὺς δὲ ἄγγελος ἐξέβαλε, καὶ οὕτως τῶν
the hands others and (an)-angel brought-out and thus from-the
ἁλύσεων ἀπήλαττε· τοὺς δὲ ἀγοραῖοι καὶ χειροτέχναι
chains freed others and market-people and craftsmen
ὑποδεχόμενοι παρὰ τῶν ἐν δυναστείαις ἐλαυνομένους,
receiving from those in powers driven-out
παντὶ ἐθεράπευον τρόπῳ, πορφυροπώλιδες γυναῖκες, καὶ
in-every served(-them) way purple-selling women and
σκηνορράφοι, καὶ σκυτοδέψαι, πρὸς αὐτὰς οἰκοῦντες τὰς
tent-makers and tanners to very dwelling the
ἐσχατιὰς τῶν πόλεων, παρ᾽ αἰγιαλὸν καὶ θάλασσαν.
outskirts of-the cities by (the)-shore and sea
Πολλάκις δὲ καὶ οὐδὲ ἐν μέσαις ἐτόλμων φαίνεσθαι
often and also not-even in middle-of they-dared to-appear
ταῖς πόλεσιν· εἰ δὲ καὶ αὐτοὶ ἐτόλμων, ἀλλ᾽ οἱ ξενοδόχοι
the cities if and even they they-dared but the hosts
οὐκ ἐτόλμων. Καὶ οὕτως ὑφαίνετο τὰ πράγματα διὰ
not dared and thus were-woven the affairs through
πειρασμῶν, δι᾽ ἀνέσεων, καὶ οἱ πρώην σκανδαλισθέντες,
trials through respites and those lately scandalized
μετὰ ταῦτα διωρθοῦντο, καὶ οἱ πλανηθέντες ἐπανήγοντο,
after these-things were-set-right and those misled were-brought-back
καὶ τὰ κατεσκαμμένα ᾠκοδομεῖτο μειζόνως. Διὰ
and the(-things) razed were-built more-greatly for

τοῦτο καὶ Παύλου αἰτήσαντος δι᾽ ἀνέσεως μόνης
this(-reason) also Paul having-asked through respite alone
βαδίζειν τὸ κήρυγμα, ὁ πάνσοφος καὶ εὐμήχανος Θεὸς οὐκ
to-walk the preaching the all-wise and resourceful God not
ἠνέσχετο τοῦ μαθητοῦ, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντος
heeded the disciple but even often entreating
οὐκ ἐπένευσεν, ἀλλ᾽ εἶπεν· Ἀρκεῖ σοι ἡ χάρις μου·
not he-nodded but said suffices for-you the grace my
ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Εἰ βούλει
the for power my in weakness is-made-perfect if you-wish
τοίνυν καὶ νῦν λογίσασθαι μετὰ τῶν λυπηρῶν τὰ
therefore even now to-reckon with the painful(-things) the
χρηστὰ, πολλὰ ὄψει γεγενημένα, καὶ εἰ μὴ σημεῖα καὶ
good(-things) many you-will-see having-happened and if not miracles and
θαύματα, ἀλλ᾽ ἐοικότα σημείοις πράγματα, καὶ δείγματα
wonders but resembling miracles events and proofs
τῆς πολλῆς τοῦ Θεοῦ προνοίας καὶ ἀντιλήψεως ἄφατα.
of-the great — of-God providence and help unspeakable
Ἀλλ᾽ ἵνα μὴ πάντα μετ᾽ εὐκολίας παρ᾽ ἡμῶν ἀκούῃς,
but that not all-things with ease from us you-hear
τοῦτό σοι καταλιμπάνω τὸ μέρος, ὥστε μετὰ ἀκριβείας
this to-you I-leave the part so-as with care
ἀναλέξαι πάντα, καὶ παραθεῖναι τοῖς λυπηροῖς, καὶ
to-gather-up all-things and to-set-beside the painful(-things) and
καλὴν ἀσχολουμένην ἀσχολίαν, οὕτως ἀπαγαγεῖν σαυτὴν
(a)-fine occupied occupation thus to-lead-away yourself
τῆς ἀθυμίας· πολλὴν γὰρ καὶ ἐντεῦθεν δέξῃ τὴν
from-the despondency great for also from-here you-will-receive the
παράκλησιν. Πάντα σου τὸν εὐλογημένον οἶκον παρ᾽ ἡμῶν
comfort all your the blessed house from us

πολλὰ προσειπεῖν παρακλήθητι. Ἐῤῥωμένη καὶ εὐθυμουμένη
much to-greet be-entreated in-health and in-good-cheer
διατελοίης, δέσποινά μου αἰδεσιμωτάτη καὶ θεοφιλεστάτη.
may-you-continue lady my most-revered and most-dear-to-God
Εἰ βούλει μοι μακρὰ γράφειν, καὶ τοιαῦτα δήλωσόν
if you-wish to-me long(-letters) to-write and such show
μοι, μὴ ἀπατῶσα μέντοι με, ὅτι πᾶσαν ἀπέθου
me not deceiving however me that all you-have-put-off
τὴν ἀθυμίαν, καὶ ἐν ἀνέσει διάγεις. Τοιοῦτον γὰρ τῶν
the despondency and in ease you-live such for of-the
γραμμάτων τοῦτο τὸ φάρμακον, ὡς καὶ εὐθυμίαν σοι
letters (is)-this the medicine so-as even good-cheer in-you
ἐμποιῆσαι πολλήν· καὶ ὄψει συνεχῶς ἐπιστέλλοντα.
to-produce much and you-will-see(-me) continually writing
Ἀλλὰ μή μοι γράψῃς πάλιν, ὅτι Παραμυθίαν ἔχω
but do-not to-me write again that comfort I-have
πολλὴν ἐκ τῶν γραμμάτων σου· τοῦτο γὰρ οἶδα κἀγώ·
much from the letters your this for know I-too
ἀλλ᾽ ὅτι τοσαύτην ὅσην ἐγὼ βούλομαι, ὅτι οὐ συγχέῃ,
but that so-great as I wish that not you-are-confounded
ὅτι οὐ δακρύεις, ἀλλ᾽ ἐν ἀνέσει καὶ εὐθυμίᾳ διάγεις.
that not you-weep but in ease and good-cheer you-live

Grief for the Churches is right, but grief beyond measure is satanic, as Paul showed with the penitent Corinthian. Olympias is to set the judgment before her mind, then her own crowns: a widow who has surpassed virgins in almsgiving, fasting, vigils, and plain dress. Her persecutors will be seen burning, she crowned, and her separation from Chrysostom is a contest too, as Paul felt when parted from Titus.

Ἤρκει μὲν καὶ ἡ πρώην ἐλθοῦσα ἐπιστολὴ πρὸς τὴν 1
sufficed indeed even the lately having-come letter to the
ἐμμέλειαν τὴν σὴν, καταστεῖλαί σου τῆς ὀδύνης τὴν
propriety the your to-calm your of-the pain the
φλεγμονήν· ἐπειδὴ δέ σε σφόδρα κατειργάσατο τῆς
inflammation since but you greatly overcame of-the
ἀθυμίας ἡ τυραννὶς, ἀναγκαῖον εἶναι ἐνόμισα καὶ δευτέραν
despondency the tyranny necessary to-be I-thought also (a)-second
προσθεῖναι τῇ προτέρᾳ, ὥστε σε μετὰ δαψιλείας πολλῆς
to-add to-the first so-that you with abundance great
καρπώσασθαι τὴν παράκλησιν, καὶ ἐν ἀσφαλεῖ σοι
might-reap the comfort and in safe for-you
τὰ τῆς ὑγείας εἶναι λοιπόν. Δεῦρο δὴ οὖν καὶ
the(-things) of-the health to-be from-now come now then also
ἑτέρωθεν διασκεδάσω σου τῆς ἀθυμίας τὴν κόνιν. Καὶ
from-another-side let-me-scatter your of-the despondency the dust and
γὰρ ἀπὸ ἕλκους καὶ οἰδημάτων χαλεπῶν κόνιν οἶμαι
for from (a)-wound and swellings grievous dust I-think
αὐτὴν γεγενῆσθαι. Πλὴν ἀλλ' οὐδὲ οὕτως ἀμελητέον
it to-have-become except but not-even so must-be-neglected
τῆς ἐπιμελείας τῆς σῆς, ἐπεὶ καὶ ἡ κόνις τὸν μὴ
the care the your since even the dust the(-one) not
μετὰ σπουδῆς αὐτὴν ἐκκλίνοντα ἐν τῷ καιριωτάτῳ τῶν
with zeal it avoiding in the most-vital of-the

μελῶν ἐπάγει τὴν λύμην, τὸ διειδὲς τῆς κόρης θολοῦσα,
members brings-on the harm the clearness of-the pupil clouding
καὶ ὁλόκληρον διαταράττουσα τοῦ ῥᾳθυμοῦντος τὸ
and whole troubling of-the(-one) being-slack the
ὄμμα. Ἵν' οὖν μὴ καὶ ἐνταῦθα τοῦτο γένηται, μετὰ
eye that then not also here this happen with
σπουδῆς πολλῆς καὶ τὸ λείψανον ἀνέλωμεν τοῦ κακοῦ.
zeal great also the remnant let-us-remove of-the evil
Ἀλλὰ διανάστηθι, καὶ χεῖρα ἡμῖν ὄρεξον. Ὅπερ γὰρ
but rise-up and (a)-hand to-us stretch-out what for
ἐπὶ τῶν τὰ σώματα καμνόντων συμβαίνειν εἴωθεν,
in-the-case-of those the bodies sick to-happen is-wont
ἂν τὰ τῶν ἰατρῶν μὲν εἰσφέρηται, τὰ δὲ ἐκείνων
if the(-things) of-the physicians indeed are-brought-in the(-things) but of-those
ἐλλιμπάνῃ, διακόπτεται τῆς ὑγείας τὸ κέρδος, τοῦτο καὶ
fall-short is-cut-off of-the health the gain this also
ἐπὶ τῆς ψυχῆς γίνεσθαι πέφυκεν. Ἵν' οὖν μὴ γένηται
in-the-case-of the soul to-happen is-natural that then not happen
τοῦτο, καὶ τὰ παρὰ σεαυτῆς μετὰ τῆς προσηκούσης
this also the(-things) from yourself with the befitting
σοι συνέσεως σπούδαζε εἰσφέρειν ἡμῖν, ὥστε ἑκατέρωθεν
to-you understanding be-zealous to-bring-in to-us so-that from-both-sides
πολλὴν γενέσθαι τὴν ὠφέλειαν. Ἀλλὰ βούλομαι μὲν, ἴσως
great to-come-about the benefit but I-wish indeed perhaps
ἐρεῖς, οὐ δύναμαι δέ· οὐδὲ γὰρ ἀρκῶ διακρούσασθαι τὸ
you-will-say not I-can but nor for I-suffice to-beat-off the
νέφος τὸ πυκνὸν καὶ ζοφῶδες τῆς ἀθυμίας, καίτοι σφόδρα
cloud the thick and gloomy of-the despondency although greatly
φιλονεικοῦσα. Σκῆψις ταῦτα καὶ πρόφασις· ἐγὼ γὰρ
striving (an)-excuse these-things and (a)-pretext I for
οἶδά σου τῶν λογισμῶν τὴν εὐγένειαν, οἶδα τῆς εὐλαβοῦς
know your of-the thoughts the nobility I-know of-the devout

σου ψυχῆς τὴν ἰσχὺν, οἶδα τῆς συνέσεως τὸ πλῆθος, τῆς
your soul the strength I-know of-the understanding the abundance of-the
φιλοσοφίας τὴν δύναμιν, καὶ ὡς ἀρκεῖ σοι μόνον ἐπιτάξαι
philosophy the power and that it-suffices for-you only to-command
τῷ μαινομένῳ τῆς ἀθυμίας πελάγει, καὶ πάντα ποιῆσαι
the raging of-the despondency sea and all to-make
γαλήνην. Ἵνα δέ σοι τοῦτο καὶ εὐκολώτερον γένηται,
calm that but for-you this also easier become
καὶ τὰ παρ᾽ ἑαυτῶν εἰσοίσωμεν. Πῶς οὖν ῥᾳδίως
also the(-things) from ourselves let-us-bring-in how then easily
δυνήσῃ τοῦτο ποιῆσαι; Καὶ τὰ ἐν τῇ προτέρᾳ
will-you-be-able this to-do both the(-things) in the first
ἐπιστολῇ ἀναλογιζομένη πάντα (καὶ γὰρ πολλὰ ταύτης
letter reckoning-up all and for many this
ἕνεκεν ἡμῖν εἴρηται τῆς ὑποθέσεως ἐν ἐκείνῃ), καὶ
for-the-sake-of by-us have-been-said of-the subject in that(-one) and
μετ᾽ ἐκείνων καὶ τοῦτο ποιοῦσα ὅπερ ἐπιτάττω νῦν ἐγώ.
with those also this doing which I-command now I
Τί δὲ τοῦτό ἐστιν; Ὅταν ἀκούσῃς ὅτι τῶν Ἐκκλησιῶν
what and this is when you-hear that of-the Churches
ἡ μὲν κατέδυ, ἡ δὲ σαλεύεται, ἑτέρα χαλεποῖς
one indeed has-sunk another and is-shaken another by-grievous
περιαντλεῖται κύμασιν, ἄλλη τὰ ἄλλα τὰ ἀνήκεστα
is-flooded waves another the other(-things) the incurable
πέπονθεν, ἡ μὲν λύκον ἀντὶ ποιμένος λαβοῦσα, ἡ
has-suffered one indeed (a)-wolf instead-of (a)-shepherd having-received another
δὲ πειρατὴν ἀντὶ κυβερνήτου, ἡ δὲ δήμιον ἀντὶ
and (a)-pirate instead-of (a)-helmsman another and (an)-executioner instead-of
ἰατροῦ, ἄλγει μέν· οὐ γὰρ δεῖ τὰ τοιαῦτα
(a)-physician grieve indeed not for (it-is)-needful the(-things) such
ἀνωδύνως φέρειν· ἄλγει δὲ, μέτρον ἐπιθεῖσα τῇ λύπῃ.
painlessly to-bear grieve but (a)-measure having-set on-the grief

Εἰ γὰρ ἐν οἷς ἡμεῖς αὐτοὶ πλημμελοῦμεν, καὶ ὑπὲρ
if for in what we ourselves do-wrong and for
ὧν μέλλομεν τὰς εὐθύνας ὑπέχειν, οὐκ ἀναγκαῖον, οὐδὲ
what we-are-to the accounts to-render not (it-is)-necessary nor
ἀσφαλὲς, ἀλλὰ καὶ σφόδρα ὀλέθριον καὶ βλαβερὸν τὸ
safe but even very ruinous and harmful the
μετὰ πολλῆς ἀλγεῖν τῆς σφοδρότητος· πολλῷ μᾶλλον
with much to-grieve the vehemence far more
ὑπὲρ τῶν ἑτέροις πλημμελουμένων τὸ καταμαλακίζεσθαι
for the(-things) by-others done-wrong the to-go-soft
καὶ κατακλᾶσθαι περιττόν τε καὶ μάταιον, καὶ πρὸς
and to-be-broken (is)-superfluous both and vain and besides
τούτοις σατανικὸν καὶ ψυχῇ ὀλέθριον.
these-things satanic and to-(the)-soul ruinous

2 Καὶ ἵνα μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον,
and that you-may-learn that these-things this has the way
ἱστορίαν σοι διηγήσομαι παλαιάν. Κορίνθιός τις ἀνὴρ
(a)-story to-you I-will-tell old (a)-Corinthian certain man
τῶν ἱερῶν ἀπολαύσας ναμάτων, καὶ καθαρθεὶς διὰ τῆς
of-the sacred having-enjoyed streams and cleansed through the
τοῦ βαπτίσματος μυσταγωγίας, καὶ τῆς φρικωδεστάτης
of-the baptism initiation and of-the most-awesome
μετασχὼν τραπέζης, καὶ πάντων ἁπαξαπλῶς τῶν παρ᾽
having-shared table and in-all simply the(-ones) among
ἡμῖν κοινωνήσας μυστηρίων (πολλοὶ δέ φασιν, ὅτι καὶ
us having-had-part mysteries many and say that even
διδασκάλου τάξιν ἐπεῖχε), μετὰ τὴν ἱερὰν ταύτην τελετὴν,
of-(a)-teacher (the)-rank be-held after the sacred this rite
καὶ τὸ πάντων ἐντὸς γενέσθαι τῶν ἀποῤῥήτων ἀγαθῶν, καὶ
and the of-all within to-come the ineffable goods and
τὰ πρωτεῖα ἔχειν ἐπὶ τῆς Ἐκκλησίας, ἥμαρτεν ἁμαρτίαν
the first-places to-have in the Church sinned (a)-sin

χαλεπωτάτην. Τὴν γὰρ γυναῖκα τοῦ πατρὸς ἀδίκοις
most-grievous the for wife of-the father with-unjust
ἰδὼν ὀφθαλμοῖς, οὐκ ἔστη μέχρι τῆς πονηρᾶς ταύτης
having-seen eyes not he-stopped at the evil this
ἐπιθυμίας, ἀλλὰ καὶ εἰς ἔργον τὴν ἀκόλαστον γνώμην
desire but even into deed the licentious intent
ἐξήγαγε· καὶ ἦν τὸ τολμηθὲν οὐχὶ πορνεία μόνον, ἀλλὰ
brought-out and was the(-thing) dared not fornication only but
καὶ μοιχεία, μᾶλλον δὲ καὶ μοιχείας πολλῷ χαλεπώτερον.
also adultery rather and even than-adultery far more-grievous
Διὰ δὴ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀκούσας, καὶ οὐκ
for indeed this(-reason) also the blessed Paul having-heard and not
ἔχων ὄνομα ἐπιθεῖναι πρὸς ἀξίαν τῷ ἁμαρτήματι κύριον,
having (a)-name to-put to worth on-the sin proper
ἑτέρως ἐμφαίνει τὸν ὄγκον τῆς παρανομίας, οὑτωσὶ
in-another-way shows the bulk of-the lawlessness thus
λέγων· Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη
saying actually is-heard among you fornication and such
πορνεία, οἵα οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. Οὐκ εἶπεν,
fornication as not-even among the gentiles is-named not he-said
Οὐδὲ τολμᾶται, ἀλλ', Οὐδὲ ὀνομάζεται, τὴν ὑπερβολὴν
not-even is-dared but not-even is-named the excess
δεῖξαι θέλων τῆς παρανομίας ἐκείνης. Καὶ παραδίδωσιν
to-show wishing of-the lawlessness that and he-hands-over
αὐτὸν τῷ διαβόλῳ, καὶ πάσης ἐκτέμνει τῆς Ἐκκλησίας, καὶ
him to-the devil and from-all cuts(-him)-off the Church and
οὐδὲ τραπέζης κοινῆς ἀφίησιν αὐτόν τινι κοινωνεῖν. Τῷ
not-even (a)-table common lets him anyone to-share with-the
γὰρ τοιούτῳ μηδὲ συνεσθίειν δεῖν φησι, καὶ πολὺς
for such(-man) not-even to-eat-with (it-is)-needful he-says and greatly
πνεῖ τὴν ἐσχάτην αὐτὸν ἀπαιτῶν δίκην, καὶ δημίῳ
he-breathes the utmost from-him demanding penalty and as-executioner

πρὸς τοῦτο κεχρημένος τῷ Σατανᾷ, καὶ κατακόπτων
for this using — Satan and cutting-down
αὐτοῦ δι᾽ ἐκείνου τὴν σάρκα. Ἀλλ᾽ ὅμως ὁ τῆς
his through that(-one) the flesh but nevertheless he(-who) from-the
Ἐκκλησίας ἀποτεμὼν Παῦλος, ὁ μηδὲ τραπέζης
Church having-cut(-him)-off Paul he(-who) not-even (a)-table
κοινῆς ἀφείς τινι κοινωνεῖν, ὁ πάντας κελεύσας δι᾽
common having-let anyone to-share he(-who) all having-bidden for
ἐκεῖνον πενθεῖν (Καὶ ὑμεῖς γὰρ πεφυσιωμένοι ἐστὲ, φησὶ,
that(-man) to-mourn and you for puffed-up are he-says
καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου
and not rather you-mourned that might-be-removed from (the)-midst
ὑμῶν ὁ τὸ ἔργον τοῦτο πεποιηκώς), ὁ πανταχόθεν
of-you he(-who) the deed this having-done he(-who) from-every-side
αὐτὸν ὥσπερ λοιμόν τινα ἀπελαύνων, ὁ πάσης
him as (a)-plague some driving-away he(-who) from-every
αὐτὸν ἀποκλείσας οἰκίας, ὁ τῷ Σατανᾷ παραδοὺς,
him having-shut-out house he(-who) — to-Satan having-handed-over
ὁ τοσαύτην παρ᾽ αὐτοῦ δίκην ἀπαιτῶν, ὅτε εἶδεν
he(-who) so-great from him penalty demanding when he-saw(-him)
ἀλγήσαντα καὶ μεταγνόντα ἐφ᾽ οἷς ἥμαρτε, καὶ παλινῳδίαν
grieving and repenting for what he-sinned and (a)-recantation
διὰ τῶν ἔργων ᾄδοντα, οὕτως αὐτὸς μετετάξατο
through the deeds singing thus he changed-his-ground
πάλιν, ὡς ἐκείνοις, οἷς ταῦτα ἐπέταξε, τὰ
again so-as to-those to-whom these-things he-had-commanded the
ἐναντία κελεῦσαι. Ὁ γὰρ εἰπὼν, Ἐκκόψατε, ἀποστράφητε,
opposite to-command he for having-said cut-off turn-away
πενθήσατε, καὶ λαμβανέτω αὐτὸν ὁ διάβολος, τί φησιν;
mourn and let-take him the devil what does-he-say

Κυρώσατε εἰς αὐτὸν ἀγάπην, μήπως τῇ περισσοτέρᾳ
confirm toward him love lest-perhaps by-the excessive
λύπῃ καταποθῇ ὁ τοιοῦτος, καὶ πλεονεκτηθῶμεν ὑπὸ
grief be-swallowed-up the such(-man) and we-be-taken-advantage-of by
τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.
— Satan not for his the designs we-are-ignorant-of
Ὁρᾷς πῶς ἐστι σατανικὸν τὸ ἀμέτρως ἀλγεῖν καὶ
do-you-see how is satanic the beyond-measure to-grieve and
τῆς ἐκείνου παγίδος ἔργον, τὸ σωτήριον φάρμακον τῇ
of-the that(-one's) snare (a)-work the saving medicine by-the
ἀμετρίᾳ ποιοῦντος δηλητήριον; Καὶ γὰρ γίνεται δηλητήριον,
excess making poison and for it-becomes poison
κἀκείνῳ τὸν ἄνθρωπον παραδίδωσιν, ὅταν εἰς ἀμετρίαν
and-to-that(-one) the man it-hands-over when into excess
and for fearful very of-the thing (is)-the nature for
τοι τοῦτο καθ' ἑκάστην ἡμέραν ἐπιοῦσα ἡμῶν τὸ γένος,
surely this(-reason) by each day coming-upon our the race
οὕτω καθ' ἕκαστον ἡμᾶς ἐκπλήττει νεκρὸν καὶ συγχέει
so by each(-one) us it-amazes (the)-dead(-man) and confounds
καὶ συστέλλει, ὡς ἀθρόον τότε φαινομένη. Καὶ οὐδὲν ἴσχυσεν
and contracts(-us) as all-at-once then appearing and nothing availed
εἰς παραμυθίαν ἡ τοῦ χρόνου μελέτη, οὐδὲ τὸ καθ' ἑκάστην
for comfort the of-the time practice nor the by each(-day)
ἐν ταύτῃ γυμνάζεσθαι τῇ θεωρίᾳ· οὐδὲ ἐπαλαιώθη τῷ
in this to-be-trained the contemplation nor grew-old with-the
χρόνῳ τὰ τῆς ἀθυμίας καὶ τῆς ἐκπλήξεως ταύτης,
time the(-things) of-the despondency and of-the amazement this
ἀλλὰ καὶ νεάζει καὶ ἀκμάζει διηνεκῶς, καὶ τὸν φόβον
but even it-is-young and in-its-prime continually and the fear
ἀκραιφνῆ καὶ ἀνθοῦντα ἔρχεται καθ' ἑκάστην φέρουσα τὴν
pure and blooming it-comes by each bringing the
ἡμέραν· καὶ μάλα εἰκότως. Τίς γὰρ οὐκ ἂν αἰσχυνθείη
day and very fittingly who for not — would-be-ashamed
καὶ καταπέσοι, ὅταν ἴδῃ τὸν χθὲς καὶ πρὸ ὀλίγων
and fall-down when he-sees the(-one) yesterday and before few
ἡμερῶν βαδίζοντα, ἄγοντα, φέροντα μυρία πράγματα,
days walking leading carrying countless affairs
οἰκίας, γυναικός, παίδων, οἰκετῶν, πολλάκις δὲ καὶ πόλεων
of-house of-wife of-children of-servants often and even of-cities

ὁλοκλήρων προϊστάμενον, ἀπειλοῦντα, φοβοῦντα, λύοντα
whole presiding threatening frightening releasing
κολάσεις, ἐπάγοντα κολάσεις, μυρία κατὰ πόλεις καὶ χώρας
punishments bringing-on punishments countless in cities and lands
ἐργασάμενον, ἀθρόον λίθων ἀφωνότερον κείμενον; καὶ
having-wrought all-at-once than-stones more-voiceless lying and
μυρίων κωκυόντων, καὶ τῶν φιλτάτων κατακοπτομένων,
countless wailing and the dearest beating-their-breasts
καὶ τῆς γυναικὸς καταθρυπτομένης, παρειὰς ξαινούσης,
and the wife breaking-down (her)-cheeks tearing
πλοκάμους λυούσης, χοροὺς περιστάσης θεραπαινίδων
(her)-locks loosing choirs setting-around of-maidservants
μετὰ πολλῆς τῆς ὀλολυγῆς, οὐδενὸς αἰσθανόμενον; καὶ
with much the wailing nothing perceiving and
πάντα ἐξαίφνης ἐκποδὼν, καὶ λογισμὸν καὶ διάνοιαν
all-things suddenly (are)-out-of-the-way both reason and mind
καὶ ψυχὴν, καὶ ὄψεως ἄνθος, καὶ μελῶν κίνησιν;
and soul and of-face (the)-bloom and of-limbs (the)-movement
καὶ τὰ ἀτερπῆ διαδεχόμενα, ἀφωνίαν καὶ ἀναισθησίαν,
and the joyless(-things) succeeding speechlessness and insensibility
φθορὰν, ἰχῶρα, σκώληκας, τέφραν, κόνιν, δυσωδίαν,
corruption pus worms ash dust stench
ἀφανισμὸν παντελῆ, καὶ ὀστέα εἰδεχθῆ καὶ ἄσημα τὸ
disappearance complete and bones hideous and unrecognizable the
πᾶν ἐπειγόμενον καταλῦσαι σῶμα;
whole hastening to-dissolve body

4 Ἀλλ' ὅμως τὸ φοβερὸν τοῦτο, καὶ διὰ τῶν πραγμάτων
but nevertheless the fearful this(-thing) both through the facts
δεικνύμενον, καὶ διὰ τῆς τῶν ἁγίων ἐκείνων δειλίας,
shown and through the of-the saints those cowardice
ἀθυμίας πολὺ κουφότερον. Ταύτης γὰρ ἕνεκεν τοὺς
than-despondency (is)-much lighter of-this for for-the-sake-of the

μακροὺς τούτους τῶν λόγων διαύλους ἀνήλωσα, ἵνα
long these of-the words double-courses I-spent that
σε διδάξω, οἵαν τίνεις δίκην, καὶ ἀντίῤῥοπον αὐτῆς,
you I-may-teach what-kind you-pay penalty and equal-in-weight to-it
μᾶλλον δὲ καὶ πολλῷ μείζονα τῶν ἀγαθῶν ἀναμένεις
rather and even far greater of-the goods you-await
τὴν ἀμοιβήν. Καὶ ἵνα μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει
the reward and that you-may-learn that these-things this have
τὸν τρόπον, ἐπὶ τοὺς ἁλόντας λοιπὸν καταφεύξομαι, εἰς
the way to those captured henceforth I-will-flee-for-refuge to
ὃ ἔμπροσθεν ἠπειγόμην ἐλθεῖν. Ὁ γὰρ τῶν Ἑβραίων
which before I-was-hastening to-come the for of-the Hebrews
δῆμος, Μωσέως ἐλθόντος καὶ ἐλευθερίαν εὐαγγελιζομένου,
people Moses having-come and freedom announcing
καὶ τῶν Αἰγυπτιακῶν κακῶν ἀπαλλαγήν, οὐδὲ ἀκοῦσαι
and from-the Egyptian evils (a)-release not-even to-hear
ἠνέσχετο, καὶ τὴν αἰτίαν τιθεὶς ὁ νομοθέτης ἔλεγεν·
endured(-it) and the cause setting-down the lawgiver said
Ἐλάλησε δὲ Μωϋσῆς τῷ λαῷ, καὶ οὐκ ἤκουσεν ὁ
spoke and Moses to-the people and not heard the
λαὸς Μωϋσέως ἀπὸ τῆς ὀλιγοψυχίας. Καὶ ὅταν μεγάλας
people of-Moses from the faintheartedness and when great
ἀπειλῇ τοῖς Ἰουδαίοις ὁ Κύριος ἀπειλὰς ὑπὲρ ἀνομίας
threatens to-the Jews the Lord threats for lawlessness
πολλῆς, μετὰ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἐν ἀλλοτρίᾳ
great after the captivity and the in (a)-foreign
διατριβὴν γῇ, καὶ δουλείαν, καὶ τοὺς λιμοὺς, καὶ τοὺς
sojourn land and slavery and the famines and the
λοιμοὺς, καὶ τὴν ἀνθρωποφαγίαν, καὶ ταύτην ἐπάγει
plagues and the cannibalism also this he-brings-on
τὴν δίκην λέγων· Δώσω αὐτοῖς καρδίαν ἀθυμοῦσαν, καὶ
the penalty saying I-will-give them (a)-heart despondent and

ἐκλείποντας ὀφθαλμοὺς, καὶ τηκομένην ψυχήν. Ἀλλὰ τί
failing eyes and (a)-wasting soul but why
χρὴ λέγειν Ἰουδαίους, δῆμον ἄτακτον, ἀγνώμονα, καὶ
must-one speak-of Jews (a)-people disorderly ungrateful and
τῇ σαρκὶ δεδουλωμένον, καὶ φιλοσοφεῖν οὐκ εἰδότα,
to-the flesh enslaved and to-practice-philosophy not knowing
παρὸν ἀπὸ τῶν μεγάλων καὶ ὑψηλῶν ἀνδρῶν
(it-being)-possible from the great and lofty men
λαβεῖν τὴν ἀπόδειξιν; Ὁ γὰρ τῶν ἀποστόλων χορὸς
to-take the proof the for of-the apostles choir
τρίτον ἔτος συγγενόμενος τῷ Χριστῷ, καὶ πολλὰ
(for)-a-third year having-been-with — Christ and much
περὶ ἀθανασίας παιδευθεὶς, καὶ τῶν ἄλλων ἀπορρήτων,
about immortality taught and of-the other ineffable(-things)
σημεῖά τε ἐργασάμενοι θαυμαστὰ καὶ παράδοξα, καὶ
miracles both having-wrought wonderful and marvelous and
αὐτὸν ἐπὶ τοσοῦτον χρόνον θαυματουργοῦντα θεασάμενοι,
him for so-long (a)-time working-wonders having-beheld
καὶ τραπέζης αὐτῷ καὶ ὁμιλίας καὶ λόγων τοιούτων
and of-table with-him and conversation and words such
κοινωνήσαντες, καὶ πάντα παιδευθέντες τρόπον, ἐπειδὴ
having-shared and in-every taught way when
ῥημάτων ἤκουσαν ἀθυμίαν αὐτοῖς ἐμποιούντων, συνεχῶς
words they-heard despondency in-them producing continually
αὐτὸν κατέχοντες καὶ ἐκκρεμάμενοι καθάπερ ὑπομάζια
him holding and hanging-on like at-the-breast
παιδία, καὶ διηνεκῶς αὐτὸν ἐρωτῶντες, Ποῦ ὑπάγεις; οὕτω
children and continually him asking where are-you-going so
τῇ τυραννίδι τῆς ἀθυμίας ἐσβέσθησαν ταύτης, καὶ ὅλοι
by-the tyranny of-the despondency they-were-quenched this and wholly
τῆς λύπης ἐγένοντο ὡς μηκέτι αὐτοῦ ταῦτα πυνθάνεσθαι.
of-the grief they-became so-as no-longer of-him these-things to-inquire

Καὶ τοῦτο ὀνειδίζων αὐτοῖς ὁ Χριστὸς ἔλεγεν· Ἠκούσατε,
and this reproaching them — Christ said you-heard
ὅτι ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ ἔρχομαι πρὸς
that I-go to the(-one) having-sent me and I-come to
ὑμᾶς, καὶ οὐδεὶς ὑμῶν ἐρωτᾷ με, Ποῦ ὑπάγεις; Ἀλλὰ
you and none of-you asks me where are-you-going but
ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν
because these-things I-have-spoken to-you the grief has-filled your
τὴν καρδίαν. Εἶδες ἔρωτα πῶς ἐπεσκότησεν ἀθυμίας
the heart did-you-see love how darkened of-despondency
τυραννὶς, καὶ πῶς αἰχμαλώτους εἰργάσατο, καὶ αὐτῆς
(the)-tyranny and how captives it-made(-them) and its
εἶναι πεποίηκεν; Ὁ δὲ Ἠλίας πάλιν ἐκεῖνος (οὐ γὰρ
to-be it-has-made(-them) — and Elijah again that not for
ἀποστήσομαι αὐτοῦ οὐδὲ νῦν), μετὰ τὴν φυγὴν καὶ τὴν
I-will-depart from-him not-even now after the flight and the
ἀναχώρησιν τὴν ἀπὸ Παλαιστίνης, οὐ φέρων τῆς ἀθυμίας
withdrawal the from Palestine not bearing of-the despondency
τὴν τυραννίδα (καὶ γὰρ σφόδρα ἠθύμει· τοῦτο γοῦν
the tyranny and for very he-was-despondent this at-least
ὁ τὴν ἱστορίαν γράψας ἐδήλου λέγων, ὅτι Ἀπῆλθε
the(-one) the history having-written showed saying that he-went-away
κατὰ τὴν ψυχὴν αὐτοῦ), ἄκουσον τί φησιν εὐχόμενος·
according-to the soul his hear what he-says praying
Ἱκανούσθω τὰ νῦν, Κύριε. Λάβε τὴν ψυχήν μου ἀπ'
let-it-suffice the(-things) now Lord take the soul my from
ἐμοῦ, ὅτι οὐ κρείττων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου. Καὶ
me for not better I am than the fathers my and
τὸ φοβερώτερον ἐκεῖνο, τὸν κολοφῶνα τῆς τιμωρίας, τὸ
the more-fearful that(-thing) the crown of-the punishment the
κεφάλαιον τῶν κακῶν, τὸ πάσης ἁμαρτίας ἐπιτίμιον,
head of-the evils the(-thing) of-every sin (the)-penalty

τοῦτο ἐν εὐχῆς αἰτεῖ τάξει, καὶ ἐν χάριτος μέρει βούλεται
this in of-prayer he-asks rank and in of-favor part he-wishes
λαβεῖν. Οὕτω πολὺ θανάτου φοβερώτερον ἀθυμία.
to-receive(-it) so much than-death more-fearful (is)-despondency
Ἵνα γὰρ ἐκείνην διαφύγῃ, καταφεύγει ἐπὶ τοῦτον.
that for that(-one) he-may-escape he-flees-for-refuge to this(-one)
Ἐνταῦθα δέ σοι καὶ ζήτημά τι διαλῦσαι βούλομαι. Οἶδα
here and for-you also (a)-question some to-resolve I-wish I-know
γάρ σου τὴν περὶ τὰς λύσεις τῶν τοιούτων ἐπιθυμίαν. Τί
for your the for the solutions of-the such(-questions) desire what
ποτ' οὖν ἐστι τὸ ζήτημα; Εἰ θάνατον κουφότερον ἀθυμίας
ever then is the question if death lighter than-despondency
εἶναι ἐνόμιζε, διὰ τί καὶ πατρίδα καὶ δῆμον ἵνα μὴ θανάτῳ
to-be he-thought for what also fatherland and people that not into-death
περιπέσῃ, καταλιπὼν ἀπέδρα; καὶ τότε αὐτὸν φεύγων,
he-might-fall having-left did-he-run-away and then it fleeing
νῦν αὐτὸν ἐπιζητεῖ; Ἵνα εἰδῇς καὶ ἐντεῦθεν μάλιστα,
now it does-he-seek that you-may-know also from-here most
πῶς χαλεπώτερον ἀθυμία θανάτου. Ὅτε μὲν γὰρ
how more-grievous (is)-despondency than-death when indeed for
αὐτὸν ἐκεῖνος ὁ φόβος κατέσεισε μόνος, εἰκότως ἅπαντα
him that the fear shook alone fittingly all-things
ἔπραττεν ὥστε αὐτὸν ἐκφυγεῖν. Ἐπειδὴ ἐγκαθημένη αὕτη
he-did so-as it to-escape when (she)-sitting-in this(-one)
τὴν οἰκείαν ἐπεδείξατο φύσιν, κατεσθίουσα, δαπανῶσα, τοῖς
the own showed nature devouring consuming with-the
ὀδοῦσιν αὐτὸν καταναλίσκουσα, ἀφόρητος αὐτῷ γενομένη,
teeth him wasting-away unbearable to-him having-become
τότε δὴ λοιπὸν τὸ πάντων βαρύτερον κουφότερον αὐτῆς
then indeed henceforth the than-all heavier lighter than-it
εἶναι ἐνόμισεν. Οὕτω καὶ Ἰωνᾶς ἐκείνην φεύγων, ἐπὶ
to-be he-thought so also Jonah that(-one) fleeing to

τοῦτον κατέφυγε, καὶ αὐτὸς θάνατον αἰτεῖται λέγων· Λάβε
this(-one) fled-for-refuge and he death asks saying take
τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, ὅτι καλόν μοι τὸ ἀποθανεῖν ἢ
the soul my from me for (is)-good for-me the to-die than
ζῆν με. Καὶ ὁ Δαυῒδ δὲ, εἴτε ἐξ οἰκείου προσώπου, εἴτε
to-live me and — David and whether from (his)-own person or
ἑτέρων τινῶν ὀδυρομένων ψαλμὸν γράφων, τὸ αὐτὸ δὴ
of-others some lamenting (a)-psalm writing the same indeed
τοῦτο ἐνδείκνυται· Ἐν γὰρ τῷ συστῆναι τὸν ἁμαρτωλὸν
this shows in for the to-stand the sinner
ἐναντίον μου, φησὶν, ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ
against me he-says I-was-made-mute and was-humbled and
ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.
was-silent from good(-things) and the pain my was-renewed
Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ
grew-hot the heart my within me and in the meditation
μου ἐκκαυθήσεται πῦρ· ἐκεῖνο τὸ πῦρ τούτου τοῦ πυρὸς
my will-be-kindled (a)-fire that the fire than-this the fire
σφοδρότερον, τὸ τῆς ἀθυμίας πάθος δηλῶν. Διὸ μηκέτι
more-violent the of-the despondency passion showing therefore no-longer
φέρων τὰς πληγὰς αὐτῆς καὶ τὰς ὀδύνας, φησίν· Ἐλάλησα
bearing the blows its and the pains he-says I-spoke
ἐν τῇ γλώσσῃ μου. Καὶ τί λαλεῖς, εἰπέ μοι; Θάνατον
with the tongue my and what do-you-speak tell me death
καὶ οὗτος αἰτεῖ λέγων· Γνώρισόν μοι, Κύριε, τὸ πέρας
also this(-man) asks saying make-known to-me Lord the end
μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα
my and the number of-the days my what it-is that
γνῶ τί ὑστερῶ ἐγώ· ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ
I-may-know what I-lack I in-other indeed words in-the but
αὐτοῖς νοήμασι τὰ τοῦ Ἠλίου φθεγγόμενος. Ὅπερ
same thoughts the(-things) — of-Elijah uttering what

γὰρ ἐκεῖνος εἶπεν· Ὅτι οὐ κρείττων ἐγώ εἰμι ὑπὲρ τοὺς
for that(-one) said that not better I am than the
πατέρας μου, τοῦτο καὶ οὗτος ᾐνίξατο λέγων· Γνώρισόν
fathers my this also this(-man) hinted saying make-known
μοι, Κύριε, τὸ πέρας μου, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.
to-me Lord the end my that I-may-know what I-lack I
Τίνος ἕνεκεν ἀπελείφθην, φησὶν, ἐγὼ, καὶ ὑστερῶ, καὶ
of-what for-the-sake was-I-left-behind he-says I and do-I-lack and
ἐν τῷ παρόντι διατρίβω βίῳ, τῶν ἄλλων ἀπελθόντων;
in the present do-I-linger life the others having-departed
Καὶ οὕτως αὐτὸν ἐπιζητεῖ, εἴτε αὐτὸς, εἴτε ἐκεῖνοι, ὧν
and so it he-seeks whether he or those whose
τῷ προσώπῳ κεχρημένος φθέγγεται, ὅτι καὶ μὴ παρόντος
the person using he-speaks that even not present
τὸν καιρὸν τῆς παρουσίας ἐπιθυμεῖ μαθεῖν· Γνώρισόν
the time of-the coming he-desires to-learn make-known
μοι, φησὶ, τὸ πέρας μου· ἵνα καὶ ἐντεῦθεν μεγίστην
to-me he-says the end my that even from-here greatest
καρπώσηται τὴν ἡδονήν. Οὕτω τὸ φοβερὸν ποθεινὸν
he-may-reap the pleasure so the fearful desirable
γίνεται διὰ τὴν ἀφόρητον τῆς ἀθυμίας ὀδύνην, καὶ τὸ
becomes because-of the unbearable of-the despondency pain and the
πῦρ τὸ ἐκκαιόμενον ἐν τῇ διανοίᾳ. Ἐν γὰρ τῇ μελέτῃ
fire the kindled in the mind in for the meditation
μου ἐκκαυθήσεται πῦρ. Τοσαύτης τοίνυν τιμωρίας μεγάλας
my will-be-kindled (a)-fire for-so-great therefore punishment great
προσδόκα τὰς ἀμοιβὰς, πολλὰ τὰ βραβεῖα, ἀφάτους
expect the rewards many (are)-the prizes unspeakable
τὰς ἀντιδόσεις, φαιδροὺς καὶ σφόδρα ἀνθοῦντας τῶν
the requitals bright and very blooming of-the
τοσούτων ἀγώνων τοὺς στεφάνους. Οὐ γὰρ τὸ ποιῆσαί
so-great contests the crowns not for the to-do

τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν τι κακὸν
something good only but even the to-suffer something evil
πολλὰς ἔχει τὰς ἀμοιβὰς, καὶ μεγάλα τὰ ἔπαθλα.
many has the rewards and great (are)-the prizes
Καὶ πρὸς τοῦτον ἤδη βαδιοῦμαι τὸν λόγον, σφόδρα καὶ
and to this already I-will-walk the word very both
σοὶ καὶ πᾶσι χρήσιμον ὄντα, καὶ ἱκανὸν πρὸς ὑπομονὴν
for-you and for-all useful being and sufficient for endurance
ἀλεῖψαι καὶ καρδίαν διεγεῖραι, καὶ μὴ ἀφιέναι πρὸς τοὺς
to-anoint and (the)-heart to-rouse and not to-let toward the
τῶν παθημάτων καταμαλακίζεσθαι ἱδρῶτας.
of-the sufferings to-go-soft sweats
Ὅτι μὲν οὖν ἁπάντων τῶν κακῶν χαλεπώτερον ἀθυμία, 6
that indeed then than-all the evils more-grievous (is)-despondency
καὶ ὁ κολοφὼν καὶ τὸ κεφάλαιον τῶν δεινῶν, τοῦτο ἱκανῶς
and the crown and the head of-the terrors this sufficiently
ἡμῖν ὁ λόγος ἀπέδειξε· λείπεται τοίνυν κατορθωμάτων καὶ
for-us the word has-shown it-remains therefore of-achievements and
παθημάτων ποιήσασθαι σύγκρισιν, ἵνα μάθῃς σαφῶς,
sufferings to-make (a)-comparison that you-may-learn clearly
ὅτι οὐ κατορθώμασι μόνον, ἀλλὰ καὶ παθήμασιν ἀμοιβαὶ
that not for-achievements only but also for-sufferings rewards
κεῖνται, καὶ ἀμοιβαὶ σφόδρα μεγάλαι, καὶ παθήμασιν οὐκ
lie-ready and rewards very great and for-sufferings not
ἔλαττον ἢ κατορθώμασιν, μᾶλλον δὲ ἔστιν ὅπου καὶ
less than for-achievements rather and it-is where even
πλείονα παθήμασιν. Καὶ εἰσαγάγωμεν, εἰ δοκεῖ, τὸν
greater for-sufferings and let-us-bring-in if it-seems-good the
μέγαν τῆς ὑπομονῆς ἀθλητὴν ἐν ἑκατέροις διαλάμψαντα
great of-the endurance athlete in both having-shone
τρόποις, τὸν ἀδάμαντα, τὴν πέτραν, τὸν ἐν τῇ
ways the adamant the rock the(-one) in the

Αὐσίτιδι μὲν γενόμενον χώρᾳ, πᾶσαν δὲ τὴν οἰκουμένην
Ausitis indeed born land all but the world
καταλάμψαντα τῇ τῆς οἰκείας ἀρετῆς ὑπερβολῇ, καὶ
having-lit-up with-the of-the own virtue excess and
εἴπωμεν αὐτοῦ τά τε κατορθώματα καὶ τὰ παθήματα,
let-us-tell his the both achievements and the sufferings
ἵνα εἰδῇς πόθεν μειζόνως διέλαμψε. Τίνα οὖν αὐτοῦ
that you-may-know whence more-greatly he-shone what then (are)-his
τὰ κατορθώματα; Ὁ οἰκός μου, φησὶ, παντὶ ἐλθόντι
the achievements the house my he-says to-every(-one) coming
ἠνέῳκτο, καὶ κοινὸς ἦν τοῖς ὁδοιπόροις λιμήν· καὶ τοῖς
was-opened and common it-was for-the wayfarers harbor and for-those
δεομένοις τὰ αὐτοῦ πάντα σχεδὸν ἐκέκτητο. Ἐγὼ
needing the(-things) his all almost were-possessed I
γὰρ ἤμην, φησὶν, ὀφθαλμὸς τυφλῶν, καὶ ποὺς χωλῶν.
for was he-says (the)-eye of-(the)-blind and (the)-foot of-(the)-lame
Ἐγὼ ἤμην πατὴρ ἀδυνάτων, δίκην δὲ, ἣν οὐκ ᾔδειν,
I was (a)-father of-(the)-helpless (the)-cause and which not I-knew
ἐξιχνίασα, καὶ συνέτριψα μύλας ἀδίκων, καὶ ἐκ μέσου
I-searched-out and I-broke (the)-grinders of-(the)-unjust and from (the)-midst
ὀδόντων αὐτῶν ἐξήρπασα ἅρπαγμα. Ἀδύνατοι δὲ, ἣν ἂν
of-teeth their I-snatched (the)-prey (the)-helpless and which —
ποτε εἶχον χρείαν οὐκ ἀπέτυχον, οὐδὲ ἐξῆλθέ τις τὴν
ever had need not failed nor went-out anyone the
θύραν μου κόλπῳ κενῷ. Εἶδες διάφορα φιλανθρωπίας
door my with-(a)-bosom empty did-you-see different of-love-for-mankind
εἴδη, καὶ ποικίλους ἐλεημοσύνης λιμένας, καὶ διὰ
forms and varied of-almsgiving harbors and through
πάντων αὐτὸν βοηθοῦντα τοῖς δεομένοις; εἶδες πενίαν
all him helping those needing did-you-see poverty
ἀνέχοντα, χήραν διορθούμενον, ἀδικουμένων προϊστάμενον,
supporting (the)-widow setting-right (the)-wronged protecting

φοβερὸν τοῖς ἐπηρεάζουσιν ὄντα; Οὐ γὰρ δὴ μέχρι
fearful to-those abusing being not for indeed as-far-as
τοῦ παραστῆναι καὶ συμμαχῆσαι μόνον τὴν σπουδὴν
the to-stand-by and to-fight-alongside only the zeal
ἐπεδείκνυτο (τοῦτο δὴ τὸ τῶν πολλῶν), ἀλλὰ καὶ
he-showed this indeed the(-way) of-the many but even
μέχρι τοῦ πρὸς τέλος τὸ πρᾶγμα ἀγαγεῖν, καὶ μετὰ πολλῆς
as-far-as the to end the matter to-bring and with much
τῆς σφοδρότητος. Συνέτριψα γὰρ μύλας τῶν ἀδίκων,
the vehemence I-broke for (the)-grinders of-the unjust
φησὶ, τῇ φιλονεικίᾳ τῇ ἐκείνων τὴν ἑαυτοῦ πρόνοιαν
he-says to-the contentiousness the their the his-own providence
ἐπιτειχίζων. Οὐκ ἀνθρώπων δὲ μόνον ἐπηρείαις, ἀλλὰ καὶ
walling-against not of-men and only abuses but also
φύσεως ἐπιβουλαῖς ἀντέστησεν αὐτοῦ τὴν κηδεμονίαν, τὰ
of-nature plots he-opposed his the care the
ἁμαρτήματα αὐτῆς τῇ τῆς οἰκείας συμμαχίας ὑπερβολῇ
faults its with-the of-the own alliance excess
διορθούμενος. Ἐπειδὴ γὰρ τὰ μέλη αὐτοῖς ἀποδοῦναι
setting-right since for the members to-them to-give-back
οὐκ εἶχε, τοῖς πηροῖς τὰ ὄμματα, τοῖς χωλοῖς τοὺς
not he-could for-the maimed the eyes for-the lame the
πόδας, ἀντὶ τῶν μελῶν αὐτοῖς ἐγίνετο, καὶ δι᾽ αὐτοῦ
feet instead-of the members for-them he-became and through him
καὶ οἱ τοὺς ὀφθαλμοὺς πεπηρωμένοι, καὶ οἱ τὰ σκέλη
both those the eyes maimed and those the legs
κεκομμένοι, οἱ μὲν ἔβλεπον, οἱ δὲ ἐβάδιζον.
cut-off the(-ones) indeed saw the(-others) and walked
Τί ταύτης ἴσον γένοιτ᾽ ἂν αὐτοῦ τῆς φιλανθρωπίας;
what to-this equal could-be — his the love-for-mankind
Οἶσθα αὐτοῦ καὶ τὰς ἄλλας ἀρετάς, ἵνα μὴ πάντα
you-know his also the other virtues that not all

καταλέγων μακρὸν ποιήσω τὸν λόγον, τὴν ἐπιείκειαν,
enumerating long I-may-make the word the fairness
τὴν πραότητα, τὴν σωφροσύνην, τὴν ἀκρίβειαν, πῶς,
the gentleness the self-control the exactness how
σφοδρὸς ὢν τοῖς ἀδικοῦσι (τὸ γὰρ δὴ θαυμαστὸν
vehement being toward-those wronging the for indeed wonderful
τοῦτό ἐστι), προσηνὴς καὶ ἥμερος ἦν, καὶ αὐτοῦ τοῦ
this is gentle and mild he-was and than-very the
μέλιτος ἡδίων τοῖς τε ἄλλοις ἅπασι καὶ τοῖς οἰκέταις τοῖς
honey sweeter to-the both others all and to-the servants the
αὐτοῦ, οἳ τοῦ ἔρωτος ὃν ἦρων ἐκείνου μέγα ἐκφέροντες
his who of-the love which they-loved that(-man) great bringing-forth
δεῖγμα ἔλεγον· Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ
(a)-proof said who — would-give to-us of-the flesh his
ἐμπλησθῆναι; Εἰ δὲ οἰκέταις οὕτω ποθεινὸς ἦν, οὕτως
to-be-filled if but to-servants so desirable he-was so
ἐπέραστος, οἷς ἀνάγκη πολλάκις καὶ φοβερὸν εἶναι,
lovely to-whom (it-is)-necessary often even fearful to-be
πολλῷ μᾶλλον τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις.
far more to-the other all men

7 Ταῦτα δὴ οὖν καὶ τὰ τούτων πλείονα συλλέξασα,
these-things indeed then and the(-things) than-these more having-gathered
δεῦρο βάδιζε μετ' ἐμοῦ ἐπὶ τὸν τῶν παθημάτων αὐτοῦ
come walk with me to the of-the sufferings his
κατάλογον, καὶ ἴδωμεν συγκρίναντες πότε λαμπρότερος
list and let-us-see comparing when more-splendid
ἦν, ὅτε ἐκεῖνα κατώρθου, ἢ ὅτε ἔπασχε τὰ ὀδυνηρὰ
he-was when those he-achieved or when he-suffered the painful(-things)
καὶ πολλὴν ἐντιθέντα αὐτῷ τὴν ἀθυμίαν; Πότε οὖν
and great producing in-him the despondency when then
λαμπρότερος ἦν ὁ Ἰώβ; ὅτε τὴν οἰκίαν αὐτοῦ πᾶσι
more-splendid was — Job when the house his to-all

τοῖς παριοῦσιν ἀνέῳγεν, ἢ ὅτε κατενεχθείσης αὐτῆς οὐδὲν
those passing-by he-opened or when brought-down it nothing
ἐφθέγξατο ῥῆμα πικρόν, ἀλλ᾽ εὐφήμησε τὸν Θεόν; Καίτοι
he-uttered (a)-word bitter but he-blessed — God and-yet
τὸ μὲν κατόρθωμα ἦν, τὸ δὲ πάθημα. Πότε
the(-one) indeed achievement was the(-other) but suffering when
φαιδρότερος ἦν, εἰπέ μοι, ὅτε ἔθυεν ὑπὲρ τῶν παιδίων,
brighter was(-he) tell me when he-sacrificed for the children
καὶ πρὸς ὁμόνοιαν αὐτοὺς συνῆγεν, ἢ ὅτε καταχωσθέντων
and to concord them brought-together or when buried
καὶ τῷ πικροτάτῳ τρόπῳ τῆς τελευτῆς καταλυσάντων
and in-the most-bitter way of-the death having-ended
τὸν βίον, μετὰ πολλῆς τῆς φιλοσοφίας ἤνεγκε τὸ συμβάν;
the life with much the philosophy he-bore the event
Πότε μᾶλλον ἐξέλαμψεν, ὅτε ἀπὸ κουρᾶς τῶν ἀρνῶν
when more did-he-shine-out when from (the)-fleece of-the lambs
αὐτοῦ ἐθερμάνθησαν γυμνῶν οἱ ὦμοι, ἢ ὅτε ἀκούσας
his were-warmed of-the-naked the shoulders or when having-heard
ὅτι πῦρ ἐξ οὐρανοῦ ἔπεσε, καὶ κατέφαγε τὴν ἀγέλην
that fire from heaven fell and devoured the flock
μετὰ τῶν ποιμένων, οὐ διεταράχθη, οὐδὲ ἐθορυβήθη,
with the shepherds not he-was-distraught nor alarmed
ἀλλὰ πράως ἤνεγκε τὴν συμφοράν; Πότε μείζων ἦν,
but gently he-bore the calamity when greater was(-he)
ὅτε τῇ ὑγείᾳ τοῦ σώματος εἰς τὴν τῶν ἀδικουμένων
when the health of-the body for the of-the wronged
προστασίαν ἐκέχρητο, συντρίβων μύλας ἀδίκων, καὶ
protection he-used breaking (the)-grinders of-(the)-unjust and
ἐκ μέσου τῶν ὀδόντων αὐτῶν ἐξαρπάζων ἁρπάγματα,
from (the)-midst of-the teeth their snatching prey
καὶ λιμὴν αὐτοῖς γινόμενος, ἢ ὅτε τὸ σῶμα αὐτοῦ, τὸ τῶν
and (a)-harbor for-them becoming or when the body his the of-the

ἀδικουμένων ὅπλον, ἑώρα κατεσθιόμενον ὑπὸ σκωλήκων,
wronged weapon he-saw being-devoured by worms
καὶ καθήμενος ἐπὶ τῆς κοπρίας, καὶ αὐτὸς αὐτὸ κατέξαινε
and sitting on the dunghill and himself it scraped
λαβὼν ὄστρακον; Τήκω γὰρ βώλακας γῆς ἀπὸ ἰχῶρος
having-taken (a)-potsherd I-melt for clods of-earth from pus
ξέων, φησί. Καίτοι ἐκεῖνα μὲν πάντα κατορθώματα, ταῦτα
scraping he-says and-yet those indeed all (were)-achievements these
δὲ πάντα παθήματα ἦν· ἀλλ' ὅμως ταῦτα αὐτὸν ἐκείνων
but all sufferings were but nevertheless these him than-those
λαμπρότερον ἀπέφηνε. Τοῦτο γὰρ μάλιστα τὸ πικρότατον
more-splendid showed this for most the most-bitter
τῆς παρατάξεως μέρος ἦν, καὶ μείζονος δεόμενον τῆς
of-the battle part was and greater needing the
ἀνδρείας, καὶ εὐτονωτέρας ψυχῆς, καὶ ὑψηλοτέρας διανοίας,
courage and more-vigorous soul and loftier mind
καὶ πλείονα περὶ τὸν Θεὸν ἐχούσης ἀγάπην. Διά τοι
and greater toward — God having love for surely
τοῦτο, ἐκείνων μὲν γινομένων, εἰ καὶ ἀναισχύντως καὶ
this(-reason) those indeed happening even if shamelessly and
σφόδρα ληστρικῶς, ἀλλ' ὅμως ἀντεῖπεν ὁ διάβολος·
very in-robber-fashion but nevertheless objected the devil
Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; Τούτων δὲ
surely-not for-nothing does-reverence Job — God these but
συμβάντων, ἐγκαλυψάμενος ἀνεχώρησε νῶτα δοὺς καὶ
having-happened having-covered(-himself) he-withdrew (his)-back giving and
οὐδὲ ἀναισχύντου τινὸς ἀντιλογίας σκιὰν γοῦν ἔχων
not-even of-shameless some objection (a)-shadow at-least having
προβαλέσθαι. Τοῦτο γὰρ ὁ κολοφὼν τοῦ στεφάνου,
to-put-forward this for (is)-the crown of-the garland
τοῦτο ἡ κορωνὶς τῆς ἀρετῆς, τοῦτο ἡ σαφὴς τῆς
this the finishing-touch of-the virtue this the clear of-the

ἀνδρείας ἀπόδειξις, τοῦτο ἡ ἀκριβεστάτη τῆς φιλοσοφίας
courage proof this the most-exact of-the philosophy
ἐπίτασις. Δηλῶν δὲ καὶ αὐτὸς οὗτος ὁ μακάριος
intensification showing and also himself this the blessed
Ἰὼβ, ὅσον χαλεπώτερον τυραννὶς ἀθυμίας θανάτου,
Job how-much more-grievous (is)-(the)-tyranny of-despondency than-death
ἀνάπαυσιν αὐτὸν καλεῖ. Θάνατος ἀνδρὶ, φησὶν, ἀνάπαυσις,
rest it he-calls death to-(a)-man he-says (is)-rest
καὶ ἐν χάριτος αὐτὸν αἰτεῖται μέρει, ὥστε ἐκείνης
and in of-favor it he-asks part so-as from-that(-one)
ἀπαλλαγῆναι, λέγων· Εἰ γὰρ δῴη καὶ ἔλθοι μου
to-be-freed saying O-that for he-would-give and might-come my
ἡ αἴτησις, καὶ τὴν ἐλπίδα μου δῴη ὁ Θεός. Ἀρξάμενος
the request and the hope my would-give — God having-begun
ὁ Κύριος τρωσάτω με, καὶ εἰς τέλος με ἀνελέτω. Εἴη
the Lord let-him-wound me and to (the)-end me let-him-destroy may-be
δέ μοι ἡ πόλις τάφος, ἐφ' ἧς ἐπὶ τειχῶν ἠλλόμην
and to-me the city (a)-tomb on which on walls I-leapt
ἐπ' αὐτῆς. Οὕτω πάντων βαρύτερον ἀθυμία· ὅσῳ
on it so than-all heavier (is)-despondency by-as-much
δὲ βαρύτερον, τοσούτῳ καὶ μείζους ἔχει τὰς ἀντιδόσεις.
and heavier by-so-much also greater it-has the requitals
Ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς, ὅσον τῶν παθημάτων 8
that and also from-another-side you-may-learn how-great of-the sufferings
τὸ κέρδος, κἂν μὴ διὰ Θεόν τις πάθῃ (καὶ οὐδεὶς
(is)-the gain even-if not for God someone suffer and let-no-one
ὑπερβολὴν τοῦτο νομιζέτω), πάθῃ δὲ ὅμως, καὶ
exaggeration this think (if)-he-suffer but nevertheless and
γενναίως ἐνέγκῃ καὶ πράως, τὸν Θεὸν ἐπὶ πᾶσι δοξάζων
nobly bear(-it) and gently — God for all-things glorifying
αὐτὸς οὗτος οὐκ ᾔδει ὅτι διὰ τὸν Θεὸν ταῦτα ἔπασχεν·
very this(-man) not knew that for — God these-things he-suffered

ὅμως διὰ τοῦτο ἐστεφανοῦτο, ὅτι οὐδὲ τὴν αἰτίαν
nevertheless for this(-reason) he-was-crowned because not-even the cause
ἐπιστάμενος ἐκαρτέρει γενναίως. Καὶ ὁ Λάζαρος ἐκεῖνος
understanding he-endured nobly and — Lazarus that
ἀσθενείᾳ φύσεως περιπεσὼν (τοῦτο δὲ οὐκ ἦν δήπου διὰ
into-weakness of-nature having-fallen this but not was surely for
τὸν Θεὸν παθεῖν), ἐπειδὴ ὅλως ἔπαθε, καὶ ἐκαρτέρησε,
— God to-suffer since at-all he-suffered and endured
καὶ γενναίως ἤνεγκε τὴν ἐρημίαν τῶν θεραπευόντων, τὴν
and nobly bore the desolation of-those tending(-him) the
ἀπὸ τῶν ἑλκῶν ἀθυμίαν, τὴν ἀπὸ τοῦ λιμοῦ, τὴν
from the sores despondency the(-one) from the hunger the(-one)
ἀπὸ τῆς ὑπεροψίας τοῦ πλουσίου καὶ τῆς ὠμότητος,
from the disdain of-the rich(-man) and the cruelty
οἶσθα ἡλίκων ἀπέλαυσε στεφάνων. Καίτοι γε αὐτοῦ
you-know how-great he-enjoyed crowns and-yet at-least his
κατόρθωμα οὐδὲν εὕρομεν εἰπεῖν· οὐχ ὅτι πένητας ἐλέησεν,
achievement none we-found to-tell not that (the)-poor he-pitied
οὐχ ὅτι ἀδικουμένοις παρέστη, οὐχ ὅτι ἀγαθόν τι
not that (the)-wronged he-stood-by not that good any
τοιοῦτον εἰργάσατο, ἀλλὰ τὴν ἐν τῷ πυλῶνι τοῦ πλουσίου
such he-wrought but the at the gate of-the rich(-man)
κατάκλισιν, καὶ τὴν ἀῤῥωστίαν, καὶ τῶν κυνῶν τὰς
lying and the sickness and of-the dogs the
γλώττας, καὶ τὴν τοῦ πλουσίου κατ᾽ αὐτοῦ γενομένην
tongues and the of-the rich(-man) against him having-come
ὑπεροψίαν, ἅπερ τοῦ πάσχειν κακῶς ἅπαντα ἦν. Ἀλλ᾽
disdain which of-the suffering ill all were but
ὅμως καίτοι μηδὲν γενναῖον ποιήσας, ἐπειδὴ μόνον
nevertheless although nothing noble having-done since only
τὴν ἐκ τούτου ἀθυμίαν ἤνεγκε γενναίως, τῷ τοσαῦτα
the from this despondency he-bore nobly with-the so-much

κατωρθωκότι πατριάρχῃ τῆς αὐτῆς ἔτυχε λήξεως. Εἴπω
having-achieved patriarch the same he-obtained lot let-me-tell
δὴ μετὰ τοῦτο καὶ ἕτερον, παράδοξον μὲν εἶναι δοκοῦν,
indeed after this also another-thing paradoxical indeed to-be seeming
ἀληθὲς δέ· Κἂν ἀγαθόν τις ἐργάσηται μέγα καὶ γενναῖον,
true but even-if good someone works great and noble
μὴ μετὰ πόνου δὲ καὶ κινδύνου καὶ παθημάτων, οὐ πολύν
not with toil but and danger and sufferings not great
τινα λήψεται μισθόν· Ἕκαστος γὰρ τὸν ἴδιον μισθὸν
any he-will-receive reward each for the own reward
λήψεται κατὰ τὸν ἴδιον κόπον· οὐ κατὰ τὸ μέγεθος τοῦ
will-receive according-to the own labor not according-to the greatness of-the
κατορθώματος, ἀλλὰ κατὰ τὸν ὄγκον τοῦ παθήματος.
achievement but according-to the bulk of-the suffering
Διά τοι τοῦτο καὶ Παῦλος καυχώμενος, οὐκ ἐπὶ τῷ
for surely this(-reason) also Paul boasting not over the
κατορθῶσαι μόνον καὶ γενναῖόν τι ποιῆσαι καυχᾶται,
to-achieve only and noble something to-do boasts
ἀλλὰ καὶ ἐπὶ τῷ παθεῖν κακῶς. Εἰπὼν γὰρ, Διάκονοι
but also over the to-suffer ill having-said for ministers
Χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· καὶ τὴν κατὰ
of-Christ are-they being-beside-myself I-speak more I and the by
σύγκρισιν ὑπερβολὴν ὑφαίνων, οὐκ εἶπε, Τόσοις καὶ τόσοις
comparison excess weaving not he-said so-many and so-many
ἐκήρυξα, ἀλλ' ἀφεὶς ἅπερ κατώρθωσεν, ἅπερ ἔπαθε κακῶς,
I-preached-to but leaving what he-achieved what he-suffered ill
ταῦτα ἐξαριθμεῖται οὕτω λέγων· Ἐν κόποις περισσοτέρως,
these-things he-enumerates thus saying in labors more-abundantly
ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν
in stripes beyond-measure in prisons more-abundantly in
θανάτοις πολλάκις. Πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ
deaths often five-times forty except one from

Ἰουδαίων ἔλαβον, τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς
Jews I-received thrice I-was-beaten-with-rods once I-was-stoned thrice
ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις
I-was-shipwrecked a-night-and-a-day in the deep I-have-spent in-journeys
πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις
often in-perils of-rivers in-perils of-robbers in-perils
ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει,
from (my)-race in-perils from gentiles in-perils in (the)-city
κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις
in-perils in (the)-wilderness in-perils in (the)-sea in-perils
ἐν ψευδαδέλφοις· ἐν κόπῳ, ἐν μόχθῳ, ἐν ἀγρυπνίαις
among false-brothers in labor in toil in watchings
πολλάκις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι· χωρὶς τῶν
often in hunger and thirst and nakedness apart-from the(-things)
παρεκτὸς ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν.
outside the pressure my the by day

9 Εἶδες παθημάτων ὁρμαθὸν, καὶ καυχήσεως ἀφορμάς;
did-you-see of-sufferings (a)-string and of-boasting occasions
Εἶτα ἐπάγει τούτοις καὶ τὰ κατορθώματα, καὶ ἐν
then he-adds to-these also the achievements and in
τούτοις πάλιν τὸ πλέον τοῦ παθήματός ἐστιν, οὐχὶ τοῦ
these again the more of-the suffering is not of-the
κατορθώματος. Εἰπὼν γὰρ, Ἡ ἐπισύστασίς μου ἡ καθ'
achievement having-said for the pressure my the by
ἡμέραν, τὰς ἀπαγωγὰς λέγων τὰς συνεχεῖς, τοὺς θορύβους,
day the arrests meaning the continual the alarms
τὰς περιστάσεις (τοῦτο γάρ ἐστιν ἡ ἐπισύστασίς μου),
the circumstances this for is the pressure my
ἐπήγαγεν, Ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. Οὐκ εἶπεν,
he-added the care of-all the Churches not he-said
Ἡ διόρθωσις, ἀλλ', Ἡ μέριμνα, ὅπερ παθήματος πλέον ἦν,
the setting-right but the care which of-suffering more was

ἢ κατορθώματος. Καὶ τὰ ἑξῆς ὁμοίως· Τίς ἀσθενεῖ,
than of-achievement and the(-things) next likewise who is-weak
φησὶ, καὶ οὐκ ἀσθενῶ; Οὐκ εἶπε, Διορθοῦμαι, ἀλλ' Ἀσθενῶ·
he-says and not am-I-weak not he-said I-set-right but I-am-weak
καὶ πάλιν, Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;
and again who is-scandalized and not I burn
Οὐκ εἶπεν, Ἀπήλλαξα τοῦ σκανδάλου, ἀλλ', Ἐκοινώνησα
not he-said I-freed(-him) from-the scandal but I-shared
τῆς ἀθυμίας. Εἶτα δεικνὺς, ὅτι ταῦτα μάλιστα τὰς
the despondency then showing that these-things most the
ἀμοιβὰς ἔχει, ἐπήγαγεν· Εἰ καυχᾶσθαι δεῖ, τὰ
rewards have he-added if to-boast (it-is)-needful the(-things)
τῆς ἀσθενείας μου καυχήσομαι. Καὶ ἕτερον πάλιν τοιοῦτον
of-the weakness my I-will-boast and another again such
ἐπάγει, τὴν φυγὴν τὴν διὰ τῆς θυρίδος, τὴν διὰ
he-adds the flight the through the window the through
τῆς σαργάνης, τὴν διὰ τοῦ τείχους· τοῦτο δὲ τοῦ
the basket the through the wall this and of-the
παθεῖν κακῶς ἦν. Εἰ τοίνυν τὰ παθήματα μεγάλας ἔχει
suffering ill was if therefore the sufferings great have
τὰς ἀμοιβὰς, τῶν δὲ παθημάτων πάντων χαλεπώτερον
the rewards of-the and sufferings all more-grievous
καὶ ὀδυνηρότερον ἡ ἀθυμία, ἐννόησον ὅσαι αἱ
and more-painful (is)-the despondency consider how-great (are)-the
ἀντιδόσεις. Οὐ παύσομαι συνεχῶς ταύτην σοι ἐπᾴδων τὴν
requitals not I-will-cease continually this to-you chanting the
ἐπῳδὴν, ἵνα ὅπερ ὑπεσχόμην ἐν προοιμίοις, τοῦτο πληρώσω
chant that what I-promised in (the)-preludes this I-may-fulfill
νῦν, ἀπὸ τῆς ἀθυμίας αὐτῆς ὑφαίνων τοὺς λογισμοὺς,
now from the despondency itself weaving the thoughts
τοὺς τὴν παραμυθίαν τῆς ἀθυμίας σοι τίκτοντας.
those the comfort of-the despondency for-you bearing

Ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς ὅσον ἐστὶ τὸ μετὰ
that and also from-another-side you-may-learn how-great is the with
παθημάτων τι ποιεῖν γενναῖον, καὶ ὅσον ἀποδεῖ
sufferings something to-do noble and how-much falls-short
τούτου τὸ ἀπονητὶ τὸ αὐτὸ ποιεῖν, ὁ Ναβουχοδονόσορ
of-this the without-toil the same to-do — Nebuchadnezzar
ἐκεῖνος ὁ Βαβυλώνιος, ἐν σκήπτροις καὶ διαδήμασι ζῶν
that the Babylonian in scepters and diadems living
εὐαγγελικόν ποτε κατώρθωσε λόγον. Μετὰ γὰρ τὴν
(a)-gospel once achieved word after for the
κάμινον καὶ παραδοξοποιΐαν ἐκείνην τὸ κήρυγμα ἀνεδέξατο
furnace and wonder-working that the preaching he-took-up
τῆς οἰκουμένης, οὐ διὰ γλώττης μόνον, ἀλλὰ καὶ διὰ
of-the world not through tongue only but also through
τῶν γραμμάτων, καὶ πανταχοῦ τῆς γῆς ἔγραψεν οὕτως·
the letters and everywhere of-the earth he-wrote thus
Ναβουχοδονόσορ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς, καὶ
Nebuchadnezzar (the)-king to-all the peoples tribes and
γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ, εἰρήνη ὑμῖν
tongues those dwelling in all the earth peace to-you
πληθυνθείη. Τὰ σημεῖα καὶ τὰ τέρατα, ἃ ἐποίησε μετ᾽
be-multiplied the signs and the wonders which did with
ἐμοῦ ὁ Θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐναντίον ἐμοῦ ἀναγγεῖλαι
me — God the most-high it-pleased before me to-announce
ὑμῖν, ὡς μεγάλα καὶ ἰσχυρά· ἡ βασιλεία αὐτοῦ βασιλεία
to-you how great and mighty the kingdom his (is)-(a)-kingdom
αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰς καὶ γενεάς. Καὶ
everlasting and the authority his to generations and generations and
δόγμα ἔθηκεν ὅπως πᾶς λαὸς, φυλὴ, γλῶσσα, κἂν εἴπῃ
(a)-decree he-set that every people tribe tongue even-if it-speak
ῥῆμα κατὰ τοῦ Θεοῦ Σιδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, εἰς
(a)-word against — God of-Shadrach Meshach and Abednego to

ἀπώλειαν ἔσται, καὶ ὁ οἶκος αὐτοῦ εἰς διαρπαγήν. Καὶ
destruction will-be and the house his to plunder and
προστίθησι, Καθότι οὐκ ἔστι θεὸς ἕτερος, ὃς δυνήσεται
he-adds since not there-is god other who will-be-able
ῥύσασθαι οὕτως. Εἶδες ἀπειλὴν ἐν τοῖς γράμμασιν;
to-deliver thus did-you-see (a)-threat in the letters
εἶδες φόβον; εἶδες διδασκαλίαν; εἶδες κήρυκα ὑψηλὸν,
did-you-see fear did-you-see teaching did-you-see (a)-herald lofty
καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκτεταμένα γράμματα;
and everywhere of-the world stretched-out letters
Τί οὖν, εἰπέ μοι; τὸν αὐτὸν τοῖς ἀποστόλοις μισθὸν
what then tell me the same as-the apostles reward
λήψεται, ἐπειδὴ οὕτως ἀνεκήρυξε τοῦ Θεοῦ τὴν δύναμιν,
will-be-receive since so he-proclaimed — of-God the power
ἐπειδὴ τοσαύτην σπουδὴν ἐποιήσατο πανταχοῦ καταγγεῖλαι
since so-great zeal he-made everywhere to-announce
τὸν λόγον; Οὐδὲ τὸ πολλοστὸν μὲν οὖν μέρος, ἀλλὰ
the word not-even the hundredth indeed then part but
μεθ' ὑπερβολῆς ἁπάσης καταδεέστερον. Καίτοι γε τὸ
with excess all less and-yet at-least the
αὐτὸ ἔργον ἐκείνοις ἐποίησεν. Ἀλλ' ἐπειδὴ πόνος οὐκ
same work as-those he-did but since toil not
ἔστιν ἐνταῦθα συνεζευγμένος, οὐδὲ παθήματα, διὰ τοῦτο
is here yoked nor sufferings for this(-reason)
ὑποτέμνεται τὰ τῆς ἀντιδόσεως. Οὗτος μὲν γὰρ μετ'
are-cut-off the(-things) of-the requital this(-man) indeed for with
ἐξουσίας καὶ ἀδείας τοῦτο ἔπραττεν· ἐκεῖνοι δὲ κωλυόμενοι,
authority and security this did those but being-hindered
ἐλαυνόμενοι, κοπτόμενοι, μαστιζόμενοι, ταλαιπωρούμενοι,
being-driven-out being-beaten being-scourged suffering-misery
κατακρημνιζόμενοι, καταποντιζόμενοι, λιμῷ τηκόμενοι,
being-thrown-down-cliffs being-drowned by-hunger wasting

καθ᾽ ἑκάστην ἀποθνήσκοντες τὴν ἡμέραν, τὴν ψυχὴν αὐτῶν
by each dying the day the soul their
βασανιζόμενοι, καθ᾽ ἕκαστον τῶν ἀσθενούντων ἀσθενοῦντες,
being-tortured by each of-those being-weak being-weak
καθ᾽ ἕκαστον τῶν σκανδαλιζομένων πυρούμενοι· καὶ τῶν
by each of-those being-scandalized burning and of-the
πόνων τούτων, καὶ τῆς ἀθυμίας μάλιστα ἦσαν πλείους αἱ
toils these and the despondency most were greater the
ἀμοιβαί. Ἕκαστος γὰρ ἴδιον μισθὸν λήψεται, φησὶ, κατὰ
rewards each for (his)-own reward will-receive he-says according-to
τὸν ἴδιον κόπον· οὐ γὰρ παύσομαι αὐτὸ συνεχῶς ἐπιλέγων.
the own labor not for I-will-cease it continually adding
Διὰ δὴ τοῦτο ὁ φιλάνθρωπος Θεὸς τοῦ Παύλου
for indeed this(-reason) the lover-of-mankind God — Paul
πολλάκις παρακαλέσαντος τῶν παθημάτων αὐτὸν, καὶ τῆς
often having-entreated from-the sufferings him and the
ἀθυμίας, καὶ τῆς ὀδύνης καὶ τῶν κινδύνων ἀπαλλάξαι, οὐκ
despondency and the pain and the dangers to-free not
ἐπένευσεν. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, φησὶ,
nodded for this thrice the Lord I-entreated he-says
καὶ οὐκ ἐπέτυχον τῆς αἰτήσεως. Τίνος γὰρ ἕνεκεν ἔμελλε
and not I-obtained the request of-what for for-the-sake was-he-going
λήψεσθαι μεγίστας ἀμοιβάς; Ὅτι ἀπραγμόνως ἐκήρυξε
to-receive very-great rewards because without-trouble he-preached
τρυφῶν, καὶ ἐν εὐθυμίᾳ διάγων; ὅτι στόμα διῆρε, καὶ
living-in-luxury and in good-cheer passing-time that (the)-mouth he-opened and
γλῶσσαν ἐκίνησεν οἴκοι καθήμενος; Ἀλλὰ τοῦτο καὶ τῷ
(the)-tongue moved at-home sitting but this even for-the
τυχόντι ῥᾴδιον ἦν, καὶ τῷ σφόδρα ἀναπεπτωκότι, καὶ
ordinary(-man) easy was and for-the very fallen-back and
τὸν ὑγρὸν καὶ διαλελυμένον ζῶντι βίον. Νῦν μέντοι τῶν
the soft and dissolute living life now however of-the

τραυμάτων, τῶν θανάτων, τῶν δρόμων τῶν κατὰ γῆν καὶ
wounds of-the deaths of-the courses of-the by land and
θάλασσαν, τῆς ἀθυμίας αὐτῆς, τῶν δακρύων, τῶν ὀδυνῶν
sea of-the despondency itself of-the tears of-the pains
(Τριετίαν γὰρ, φησὶν, οὐκ ἐπαυσάμην νύκτα καὶ ἡμέραν
for-three-years for he-says not I-ceased night and day
μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν·) μετὰ πολλῆς
with tears admonishing each one of-you with much
παῤῥησίας λήψεται τὰς ἀντιδόσεις καὶ τοὺς στεφάνους.
freedom-of-speech he-will-receive the requitals and the crowns
Ταῦτα οὖν ἐννοοῦσα καὶ λογιζομένη, ὅσον ὀδυνηροῦ 10
these-things then considering and reckoning how-great of-(a)-painful
καὶ ἐπιμόχθου βίου τὸ κέρδος, χαῖρε καὶ εὐφραίνου
and toilsome life (is)-the gain rejoice and be-glad
τὴν ἐπικερδῆ καὶ μυρίων γέμουσαν στεφάνων ἐκ
the profitable and with-countless full crowns from
πρώτης ἡλικίας ὁδεύσασα ὁδὸν, καὶ διὰ συνεχῶν καὶ
(the)-first age having-traveled road and through continual and
πυκνῶν παθημάτων. Καὶ γὰρ ἡ τοῦ σώματος ἀῤῥωστία,
frequent sufferings and for the of-the body sickness
καὶ ποικίλη καὶ παντοδαπὴ, καὶ μυρίων θανάτων
both varied and manifold and than-countless deaths
χαλεπωτέρα, οὐκ ἐπαύσατό σε συνεχῶς πολιορκοῦσα· καὶ
more-grievous not ceased you continually besieging and
λοιδοριῶν δὲ καὶ ὕβρεων νιφάδες, καὶ συκοφαντίαι οὐ
of-abuses but and insults snowstorms and false-accusations not
διέλιπον κατὰ σοῦ φερόμεναι· ἀθυμίαι δέ σοι πυκναὶ
left-off against you borne despondencies and for-you frequent
καὶ συνεχεῖς καὶ πηγαὶ δακρύων διὰ παντὸς ἠνώχλησαν
and continual and springs of-tears through all troubled(-you)
τοῦ χρόνου. Τούτων δὲ ἕκαστον καθ' ἑαυτὸ ἤρκεσε τοῖς
the time of-these and each by itself sufficed for-those

ὑπομεμενηκόσιν εἰς ὠφέλειαν πολλήν. Ὅ τε γὰρ Λάζαρος
having-endured for benefit great — both for Lazarus
ἀπὸ τῆς ἀῤῥωστίας μόνης, καὶ τῆς αὐτῆς ἐκοινώνησε
from the sickness alone also the same shared
τῷ πατριάρχῃ λήξεως· καὶ τῷ τελώνῃ δὲ αἱ λοιδορίαι
with-the patriarch lot and for-the tax-collector and the abuses
τοῦ Φαρισαίου δικαιοσύνην ὑπερβαίνουσαν τὸν Φαρισαῖον
of-the Pharisee righteousness surpassing the Pharisee
ἐκόμισαν· ὅ τε κορυφαῖος τῶν ἀποστόλων ἀπὸ δακρύων
brought the and chief of-the apostles from tears
τὸ ἕλκος τῆς χαλεπῆς ἐκείνης ἁμαρτίας διώρθωσεν. Ὅταν
the wound of-the grievous that sin set-right when
οὖν τῶν προειρημένων ἕκαστον φαίνηται καὶ μόνον
then of-the(-things) said-before each appears even alone
ἓν τῶν παθημάτων τούτων ἀρκέσαν, ἐννόησον πόσας
one of-the sufferings these sufficing consider how-many
αὐτὴ λήψῃ τὰς ἀμοιβὰς, πάντα ὁμοῦ μετὰ πολλῆς
you-yourself will-receive the rewards all together with much
τῆς ὑπερβολῆς ὑπομείνασα, καὶ διὰ παντὸς τοῦ χρόνου.
the excess having-endured and through all the time
Οὐδὲν γὰρ, οὐδὲν οὕτω λαμπροὺς ποιεῖ, καὶ ζηλωτοὺς, καὶ
nothing for nothing so splendid makes and enviable and
μυρίων ἐμπίμπλησιν ἀγαθῶν, ὡς τὸ πειρασμῶν πλῆθος,
with-countless fills goods as the of-trials multitude
καὶ κίνδυνοι, καὶ πόνοι, καὶ ἀθυμίαι, καὶ τὸ διηνεκῶς
and dangers and toils and despondencies and the continually
ἐπιβουλεύεσθαι, καὶ παρ᾽ ὧν οὐδαμῶς ἐχρῆν, καὶ πράως
to-be-plotted-against even by whom in-no-way (it-was)-right and gently
ἅπαντα φέρειν. Ἐπεὶ καὶ τὸν υἱὸν τοῦ Ἰακὼβ οὐδὲν οὕτως
all to-bear since also the son — of-Jacob nothing so
ἐποίησε μακάριον καὶ εὐδόκιμον ὡς ἡ συκοφαντία τότε
made blessed and renowned as the false-accusation then

ἐκείνη, καὶ τὸ δεσμωτήριον, καὶ ἡ ἅλυσις, καὶ ἡ ἐντεῦθεν
that and the prison and the chain and the from-there
ταλαιπωρία. Μέγα μὲν γὰρ αὐτοῦ καὶ τὸ τῆς σωφροσύνης
misery great indeed for his also the of-the chastity
κατόρθωμα, ὅτε τῆς Αἰγυπτιακῆς ἀκολασίας περιεγένετο,
achievement when the Egyptian licentiousness he-overcame
καὶ τὴν ἀθλίαν γυναῖκα ἐκείνην ἐπὶ τὴν ἄδικον αὐτὸν
and the wretched woman that to the unjust him
καλοῦσαν ὁμιλίαν διεκρούσατο· ἀλλ᾽ οὐχ οὕτω μέγα τοῦτο,
calling intercourse beat-off but not so great this
ὡς τὰ παθήματα. Ποῖον γὰρ ἐγκώμιον, εἰπέ μοι, τὸ μὴ
as the sufferings what-kind for of-praise tell me (is)-the not
μοιχεῦσαι, μηδὲ ἀλλότριον διορύξαι γάμον, μηδὲ μιᾶναι
to-commit-adultery nor another's to-break-into marriage nor to-defile
εὐνὴν οὐδαμόθεν αὐτῷ προσήκουσαν, μηδὲ ἀδικῆσαι τὸν
(a)-bed in-no-way to-him belonging nor to-wrong the(-one)
εὐεργετήσαντα, μηδὲ αἰσχύνῃ περιβαλεῖν τοῦ προστάτου τὴν
having-benefited(-him) nor with-shame to-cover of-the master the
οἰκίαν; Ἀλλὰ τὸ ποιῆσαν αὐτὸν μέγαν ἐκεῖνο μάλιστά
house but the(-thing) having-made him great that most
ἐστιν, ὁ κίνδυνος, ἡ ἐπιβουλή, ἡ μανία τῆς αἰχμαλώτου,
is the danger the plot the madness of-the captive(-woman)
ἡ ἐπενεχθεῖσα βία, τὸ ἄφυκτον δεσμωτήριον τοῦ θαλάμου,
the brought-to-bear force the inescapable prison of-the chamber
ὅπερ αὐτῷ κατεσκεύασεν ἡ μοιχαλίς, τὰ δίκτυα, ἃ
which for-him prepared the adulteress the nets which
πανταχόθεν ἀνεπέτασεν, ἡ κατηγορία, ἡ συκοφαντία, τὸ
from-every-side spread the accusation the false-accusation the
δεσμωτήριον, ἡ ἅλυσις, τὸ μηδενὸς τυχόντα τῶν δικαίων
prison the chain the in-nothing obtaining the just(-things)
μετὰ τὸν τοσοῦτον ἆθλον ὑπὲρ οὗ στεφανοῦσθαι ἐχρῆν,
after the so-great contest for which to-be-crowned (it-was)-right

ὡς κατάδικον καὶ ὑπεύθυνον ἐπὶ τὸ ὀχύρωμα ἄγεσθαι,
as condemned and liable to the stronghold to-be-led
καὶ μετὰ τῶν τὰ ἔσχατα ἡμαρτηκότων κατακλείεσθαι, ὁ
and with those the utmost having-sinned to-be-shut-up the
αὐχμός, τὸ σιδήριον, ἡ τοῦ δεσμωτηρίου ταλαιπωρία.
squalor the iron the of-the prison misery
Τότε αὐτὸν ὁρῶ λάμποντα μειζόνως, ἢ ὅτε ἐπὶ τοῦ θρόνου
then him I-see shining more-greatly than when on the throne
τῆς Αἰγύπτου καθήμενος τὸν σῖτον διένεμε τοῖς δεομένοις,
— of-Egypt sitting the grain he-distributed to-those needing
καὶ τὸν λιμὸν ἔλυε, καὶ κοινὸς λιμὴν ἅπασιν ἐγίνετο.
and the famine dissolved and (a)-common harbor for-all became
Τότε ὁρῶ αὐτὸν φαιδρόν, ὅτε αὐτῷ αἱ πέδαι καὶ χειροπέδαι
then I-see him bright when on-him the fetters and handcuffs
περιέκειντο, ἢ ὅτε ἐν ἱματίοις λαμπροῖς τὴν τοσαύτην
lay or when in garments splendid the so-great
δυναστείαν περιεβέβλητο. Ὁ μὲν γὰρ πραγματείας ἦν
power he-was-clothed-with the(-one) indeed for of-business was
καιρὸς καὶ ἐμπορίας πολλῆς, ὁ τοῦ δεσμωτηρίου λέγω·
(a)-time and of-merchandise great the(-time) of-the prison I-mean
ὁ δὲ τρυφῆς καὶ ἀνέσεως καὶ τιμῆς, πολλὴν μὲν ἔχων
the(-other) but of-luxury and ease and honor great indeed having
τὴν ἡδονήν, οὐ πολὺ δὲ τὸ κέρδος. Διὰ τοῦτο οὐδὲ οὕτως
the pleasure not great but the gain for this(-reason) not-even so
αὐτὸν μακαρίζω τιμώμενον ὑπὸ τοῦ πατρὸς, ὡς φθονούμενον
him I-call-blessed honored by the father as envied
ὑπὸ τῶν ἀδελφῶν, καὶ συνοίκους ἔχοντα τοὺς πολεμίους.
by the brothers and as-housemates having the enemies
Καὶ γὰρ ἐκ πρώτης ἡλικίας οἴκοθεν χαλεπὸς αὐτῷ
and for from (the)-first age from-home grievous against-him
ἀνερρίπίζετο πόλεμος, τῶν πολεμούντων ἐγκαλεῖν μὲν
was-fanned-up war of-those warring to-charge indeed

ἐχόντων οὐδέν, τηκομένων δὲ καὶ διαῤῥηγνυμένων διὰ
having nothing wasting-away but and bursting because-of
τὸ πλείονος ἀπολαύειν αὐτὸν παρὰ τοῦ πατρὸς διαθέσεως.
the more to-enjoy him from the father affection
Καίτοι γε τὸ φίλτρον ὁ νομοθέτης Μωσῆς οὐκ ἔφησεν ἐξ
and-yet at-least the affection the lawgiver Moses not said from
ἀρετῆς τοῦ παιδὸς ἔχειν τὴν ἀρχήν, ἀλλ᾽ ἀπὸ τοῦ καιροῦ
(the)-virtue of-the boy to-have the origin but from the time
τῶν ὠδίνων. Ἐπειδὴ γὰρ ὕστερον τῶν ἄλλων ἐτέχθη,
of-the birth-pangs since for later than-the others he-was-born
καὶ ἐν ἐσχάτῳ γήρᾳ (ποθεινὰ δὲ τὰ τοιαῦτα παιδία,
and in utmost old-age dear and (are)-the such children
ἅτε παρ᾽ ἐλπίδα γεννώμενα), διὰ τοῦτο ἐφιλεῖτο. Ἠγάπα
as beyond hope born for this(-reason) he-was-loved loved
γὰρ αὐτὸν ὁ πατὴρ, φησὶν, ὅτι υἱὸς γήρως ἦν αὐτῷ.
for him the father he-says because (a)-son of-old-age he-was to-him
Ταῦτα δὲ ὁ νομοθέτης ἔγραψεν, ὡς ἔγωγε οἶμαι, οὐ τὸ 11
these-things and the lawgiver wrote as I-at-least think not the
ὂν διηγούμενος, ἀλλὰ τοῦ πατρὸς τὴν σκῆψιν καὶ τὴν
being recounting but of-the father the excuse and the
πρόφασιν. Ἐπειδὴ γὰρ ἑώρα φθονούμενον τὸ μειράκιον,
pretext since for he-saw envied the lad
παραμυθήσασθαι τὸ πάθος τῶν ἀδελφῶν βουλόμενος,
to-soothe the passion of-the brothers wishing
ἔπλασεν ἀγάπης αἰτίαν οὐ πολὺν τίκτουσαν αὐτῷ τὸν
he-fashioned for-love (a)-cause not much begetting for-him the
φθόνον. Ὅτι γὰρ οὐ τοῦτο αἴτιον ἦν τοῦ φίλτρου, ἀλλὰ ἡ
envy that for not this (the)-cause was of-the affection but the
ἀκμάζουσα τῆς ψυχῆς ἀρετὴ, καὶ τῆς ἡλικίας ἀκμαιοτέρα
flourishing of-the soul virtue even than-the age riper
οὖσα, δῆλον ἐκ τοῦ Βενιαμίν. Εἰ γὰρ διὰ τοῦτο ἐκεῖνος
being (is)-clear from — Benjamin if for for this that(-one)

ἐφιλεῖτο, πολλῷ μᾶλλον τὸν νεώτερον αὐτοῦ φιλεῖσθαι
was-loved far more the younger his to-be-loved
ἐχρῆν. Μετὰ γὰρ τὸν Ἰωσὴφ ἐκεῖνος ἐτέχθη, καὶ οὗτος
(it-was)-right after for — Joseph that(-one) was-born and this(-one)
μᾶλλον υἱὸς γήρως ἦν αὐτῷ. Ἀλλ', ὅπερ ἔφην, τοῦ πατρὸς
more (a)-son of-old-age was to-him but as I-said of-the father
ἦν τὸ πλάσμα, βουλομένου καταλῦσαι τὸν ἀδελφικὸν
was the fiction wishing to-end the brotherly
πόλεμον· ἀλλ' οὐδὲ οὕτως ἴσχυσεν, ἀλλ' ἐξεκαίετο
war but not-even so it-availed but was-kindled
σφοδροτέρα ἡ φλόξ. Καὶ ἐπειδὴ οὐδὲν ἴσχυον ποιῆσαι
more-violent the flame and since nothing they-were-able to-do
τέως, κατήνεγκαν αὐτῷ ψόγον πονηρόν, αἰσχρᾷ
for-the-while they-brought-against him (a)-report evil with-(a)-shameful
περιέβαλον αἰτίᾳ, τὴν βάρβαρον γυναῖκα προφθάσαντες
they-surrounded(-him) charge the barbarian woman anticipating
οἱ ἀδελφοὶ, καὶ πολλῷ χείρους φανέντες αὐτῆς. Ἡ μὲν
the brothers and far worse appearing than-she the(-one) indeed
γὰρ εἰς ἀλλότριον, οἱ δὲ εἰς ἀδελφὸν ἐγίνοντο
for toward (a)-stranger the(-others) but toward (a)-brother became
πονηροί. Καὶ οὐδὲ ἐνταῦθα ἔστησαν τῆς κακίας· ἀλλ'
wicked and not-even there they-stopped of-the wickedness but
ἐπηγωνίζοντο τοῖς προτέροις ἀεί, καὶ λαβόντες μόνον
they-outdid the former(-deeds) always and having-taken (him)-alone
ἐν ἐρημίᾳ καὶ ἔσφαξαν, καὶ ἀπέδοντο, καὶ δοῦλον ἀντ'
in (the)-desert both slaughtered and sold(-him) and (a)-slave instead-of
ἐλευθέρου ἐποίησαν, καὶ δουλείαν τὴν ἐσχάτην. Οὔτε γὰρ
free(-man) made(-him) and (a)-slavery the utmost neither for
ὁμοφύλοις τισίν, ἀλλὰ βαρβάροις ἑτερογλώσσοις, καὶ τοῖς
to-kinsmen some but to-barbarians of-other-tongues and to-those
εἰς βάρβαρον ἀπιοῦσι χώραν ἐξέδωκαν τὸν ἀδελφόν· ὁ δὲ
to (a)-barbarian going-off country they-gave-up the brother — but

Θεὸς λαμπρότερον αὐτὸν ποιῶν, ἠνείχετο τῶν γινομένων,
God more-splendid him making endured the events
καὶ ἐμακροθύμει, κινδύνων κινδύνους διαδεχομένων. Μετὰ
and was-long-suffering dangers dangers succeeding after
γὰρ τὸν φθόνον καὶ τὴν αἰσχρὰν διαβολὴν σφαγῇ
for the envy and the shameful slander to-slaughter
παρέδωκαν, καὶ δουλείᾳ σφαγῆς χαλεπωτέρᾳ. Μὴ
they-handed-over(-him) and to-slavery than-slaughter more-grievous do-not
γάρ μοι παραδράμῃς ἁπλῶς τὸ εἰρημένον· ἀλλ᾽
for for-me pass-over simply the(-thing) said but
ἐννόησον ἡλίκον ἦν μειράκιον εὐγενὲς, ἐν οἰκίᾳ πατρικῇ
consider how-great it-was (a)-lad well-born in (a)-house paternal
τραφὲν μετὰ ἐλευθερίας ἁπάσης, μετὰ ἀγάπης πατρὸς
reared with freedom all with love of-(a)-father
τοσαύτης, ἀθρόον ὑπὸ ἀδελφῶν ἀπεμποληθῆναι, οὐδὲν
so-great all-at-once by brothers to-be-sold nothing
ἐχόντων ἐγκαλεῖν, καὶ βαρβάροις ἐκδοθῆναι ἑτερογλώσσοις,
having to-charge(-him) and to-barbarians to-be-given-up of-other-tongues
καὶ ἤθεσιν ἀλλοκότοις, καὶ αὐτοθηρίοις μᾶλλον, ἢ
and in-manners strange and very-beasts rather than
ἀνθρώποις· καὶ ἄπολιν, καὶ μετανάστην, καὶ οἰκέτην,
men and cityless and (an)-exile and (a)-servant
καὶ ξένον ἀντ᾽ ἐλευθέρου καὶ πολίτου γενέσθαι, καὶ
and (a)-stranger instead-of free(-man) and citizen to-become and
τοσαύτης ἀπολαύσαντα τῆς εὐημερίας, πρὸς τὴν ἐσχάτην
so-great having-enjoyed the prosperity to the utmost
κατενεχθῆναι ταλαιπωρίαν δουλείας ἀήθη ὄντα μεθ᾽
to-be-brought-down misery of-slavery unaccustomed being with
ὑπερβολῆς ἁπάσης, καὶ πικροτάτους λαβεῖν δεσπότας, καὶ
excess all and most-bitter to-get masters and
πρὸς ἀλλοτρίαν καὶ βάρβαρον μετενεχθῆναι γῆν.
to (a)-foreign and barbarian to-be-carried land

Ἀλλ᾽ οὐδὲ ἐνταῦθα ἵστατο τὰ δεινά, ἀλλ᾽ ἐπιβουλαὶ
but not-even there stopped the terrors but plots
πάλιν ἐπιβουλὰς διεδέχοντο μετὰ τὰ ὀνείρατα ἐκεῖνα τὰ
again plots succeeded after the dreams those the
θαυμαστὰ καὶ τὴν τῶν ἀδελφῶν αὐτοῦ προσκύνησιν
wonderful(-ones) and the of-the brothers his obeisance
προαναφωνοῦντα. Λαβόντες γὰρ αὐτὸν οὗτοι οἱ ἔμποροι
foretelling having-taken for him these the merchants
οὐ κατέσχον, ἀλλ᾽ ἑτέροις αὐτὸν πάλιν χείροσιν ἀπέδοντο
not kept(-him) but to-other him again worse(-ones) they-sold
βαρβάροις. Οἶσθα δὲ ἡλίκον τοῦτο εἰς συμφορᾶς λόγον,
to-barbarians you-know and how-great this as of-calamity (a)-matter
τὸ δεσπότας τοιούτους ἐκ τοιούτων ἀμείβειν. Τοῦτο γὰρ
the masters such from such to-exchange this for
δυσκολωτέραν ποιεῖ τὴν δουλείαν, ὅταν καὶ ξένοι πάλιν
more-difficult makes the slavery when both strangers again
οἱ κτώμενοι, καὶ τῶν προτέρων ὧσι χαλεπώτεροι.
those acquiring(-him) and than-the former are more-grievous
Καὶ γίνεται ἐν Αἰγύπτῳ τῇ θεομάχῳ τότε ἐκείνῃ
and he-comes-to-be in Egypt the God-fighting then that
καὶ μαινομένῃ, ὅθεν τὰ ἀναίσχυντα στόματα, ὅθεν αἱ
and raging whence the shameless mouths whence the
βλάσφημοι γλῶσσαι. Καὶ γίνεται παρ᾽ Αἰγυπτίοις, ὧν
blasphemous tongues and he-comes-to-be among Egyptians of-whom
καὶ εἷς ἤρκεσε μόνος τὸν μέγαν Μωϋσέα δραπέτην καὶ
even one sufficed alone the great Moses (a)-runaway and
φυγάδα ποιῆσαι. Καὶ ἐπειδὴ μικρὸν ἀνέπνευσεν ἐκεῖ, τοῦ
(a)-fugitive to-make and when (a)-little he-breathed-again there the
φιλανθρώπου Θεοῦ, τοῦ τὰ παράδοξα οἰκονομοῦντος, τὸν
lover-of-mankind God the(-one) the marvels ordering the
ἄγριον θῆρα τὸν ὠνησάμενον αὐτὸν ποιήσαντος πρόβατον,
savage beast the having-bought him having-made (a)-sheep

εὐθέως αὐτῷ σκάμματα παρεσκευάζετο πάλιν, καὶ στάδιον,
at-once for-him arenas were-prepared again and (a)-stadium
καὶ παλαίσματα, καὶ ἀγῶνες, καὶ ἱδρῶτες σφοδρότεροι
and wrestlings and contests and sweats more-violent
τῶν προτέρων. Ἰδοῦσα γὰρ αὐτὸν ἀδίκοις ὀφθαλμοῖς
than-the former having-seen for him with-unjust eyes
ἡ κεκτημένη, καὶ τῷ κάλλει τῆς ὄψεως αὐτοῦ
the(-woman) owning(-him) and by-the beauty of-the face his
χειρωθεῖσα, καὶ κατὰ κράτος ἁλοῦσα τῷ πάθει, λέαινα
subdued and by force caught by-the passion (a)-lioness
ἀντὶ γυναικὸς ὑπὸ τῆς ἀκολάστου ταύτης ἐπιθυμίας
instead-of (a)-woman by the licentious this desire
ἐγένετο. Καὶ πάλιν σύνοικος ὁ πολέμιος ἦν ἐναντίαν τοῖς
she-became and again (a)-housemate the enemy was opposite to-the
προτέροις τὴν ὑπόθεσιν ἔχων· ἐκεῖνοι γὰρ μισοῦντες αὐτὸν
former the ground having those for hating him
τῆς οἰκίας ἐξέβαλον· αὕτη δὲ ἐρῶσα καὶ περικαιομένη
from-the house cast(-him)-out she but loving(-him) and burning-with-passion
τοῦ νεανίσκου· καὶ ἦν διπλοῦς, μᾶλλον δὲ τριπλοῦς
for-the young-man and was double rather and triple
καὶ πολλαπλοῦς ὁ πόλεμος. Μὴ γὰρ ἐπειδὴ τὰ δίκτυα
and manifold the war do-not for since the nets
ὑπερήλατο, καὶ τὸν βρόχον διέτεμεν ἐν βραχείᾳ καιροῦ
he-leapt-over and the noose cut in (a)-brief of-time
ῥοπῇ, νομίσῃς ἀπραγμόνως αὐτὸν ἠνυκέναι τὸν ἆθλον
moment think without-trouble him to-have-accomplished the contest
τοῦτον· καὶ γὰρ πολὺν τὸν ἱδρῶτα ὑπέμεινε.
this and for great the sweat he-endured
Καὶ εἰ βούλει τοῦτο σαφῶς μαθεῖν, ἐννόησον οἷόν ἐστι 12
and if you-wish this clearly to-learn consider what-kind is
νεότης, καὶ νεότητος ἀκμή. Ἐν γὰρ αὐτῷ τῷ ἄνθει τῆς
youth and of-youth (the)-prime in for very the bloom of-the

ἡλικίας τότε ἐτύγχανεν ὢν τότε, ὅτε σφοδροτέρα τῆς
age then he-happened being then when more-violent of-the
φύσεως ἡ φλὸξ ἐγείρεται, ὅτε πολλὴ τῆς ἐπιθυμίας ἡ
nature the flame is-roused when great of-the desire (is)-the
ζάλη, ὅτε ἀσθενέστερος ὁ λογισμός. Τῶν γὰρ νεωτέρων
surge when weaker (is)-the reason of-the for younger
αἱ ψυχαὶ οὐ σφόδρα πολλῇ φράττονται τῇ συνέσει, οὐδὲ
the souls not very with-much are-fenced the understanding nor
πολλὴν τῆς ἀρετῆς ποιοῦνται σπουδήν· ἀλλ' ὁ μὲν χειμὼν
much of-the virtue they-make zeal but the indeed storm
τῶν παθῶν χαλεπώτερος, ὁ δὲ τὰ πάθη κυβερνῶν λογισμὸς
of-the passions (is)-more-grievous the but the passions steering reason
ἀσθενέστερος. Μετὰ δὲ τῆς φύσεως καὶ τῆς ἡλικίας,
weaker with and the nature and the age
πολλὴ καὶ τῆς γυναικὸς ἦν ἡ ἀκολασία. Καὶ καθάπερ
great also of-the woman was the licentiousness and as
τὴν Βαβυλωνίαν κάμινον αἱ Περσικαὶ χεῖρες ἐκεῖναι μετὰ
the Babylonian furnace the Persian hands those with
πολλῆς ἀνῆπτον τῆς σπουδῆς, δαψιλῇ τῷ πυρὶ παρέχουσαι
much kindled the zeal abundant to-the fire supplying
τὴν τροφὴν καὶ ποικίλα ὑπεκκαύματα ἐμβάλλουσαι τῇ
the fuel and varied kindlings throwing-in to-the
φλογί, οὕτω δὴ καὶ τότε ἡ ἀθλία καὶ ταλαίπωρος ἐκείνη
flame so indeed also then the wretched and miserable that
γυνὴ τῆς καμίνου ταύτης χαλεπωτέραν ἀνῆπτε τὴν
woman than-the furnace this more-grievous kindled the
φλόγα, μύρων ὄζουσα, ἐπιτρίμμασι παρειῶν, ὑπογραφαῖς
flame of-perfumes smelling with-rouges of-cheeks with-paintings
ὀφθαλμῶν, κατακεκλασμένῃ φωνῇ, κινήμασι, βαδίσμασι
of-eyes with-broken voice with-movements with-gaits
διαθρυπτομένῃ, ἱματίοις μαλακοῖς, περιβολῇ χρυσίων,
being-effeminate with-garments soft with-(a)-covering of-gold

καὶ ἑτέραις τοιαύταις μυρίαις μαγγανείαις καταγοητεύουσα
and with-other such countless tricks bewitching
τὸ μειράκιον. Καὶ καθάπερ τις θηρευτὴς δεινὸς δυσάλωτον
the lad and as some hunter clever (a)-hard-to-catch
μέλλων χειροῦσθαι ζῶον, ἅπαντα κινεῖ τῆς τέχνης τὰ
being-about to-subdue animal all moves of-the art the
ὄργανα, οὕτω δὴ καὶ αὕτη, τὴν σωφροσύνην εἰδυῖα
instruments so indeed also she the chastity knowing
τοῦ νεανίσκου (οὐδὲ γὰρ ἔμελλεν ἐν τοσούτῳ χρόνῳ
of-the young-man not-even for it-was-going in so-much time
λανθάνειν), πολλῆς ἐνόμισεν αὐτῇ δεῖν παρασκευῆς
to-escape-notice much she-thought for-herself to-be-needed preparation
ἐπὶ τὴν αἰχμαλωσίαν τοῦ νεανίσκου, καὶ διὰ τοῦτο πάντα
for the capture of-the young-man and for this all
ἐκίνει τῆς ἀκολασίας τὰ μηχανήματα. Καὶ οὐδὲ τούτοις
she-moved of-the licentiousness the engines and not-even with-these
ἠρκεῖτο μόνοις, ἀλλὰ καὶ καιρὸν καὶ τόπον ἐπετήρει
she-was-content alone but also (the)-time and place she-watched-for
πρὸς τὴν θήραν ἐπιτήδειον. Διὰ τοῦτο οὐδὲ εὐθέως
for the hunt suitable for this(-reason) not-even at-once
ἁλοῦσα προσέβαλεν, ἀλλὰ πολὺν ἀνέμεινε χρόνον, τὴν
caught she-attacked but long she-waited time the
πονηρὰν ταύτην ἐπιθυμίαν ὠδίνουσα καὶ παρασκευαζομένη,
evil this desire travailing-with and preparing
δεδοικυῖα μὴ τῷ τάχει καὶ ταῖς ἐσχεδιασμέναις αὐτῆς
fearing lest by-the speed and the improvised her
ἐπιβουλαῖς διαφύγῃ τὸ θήραμα. Καὶ ποτε εὑροῦσα μόνον
plots should-escape the prey and once having-found (him)-alone
ἐν οἴκῳ τὰ συνήθη ποιοῦντα, ἀνασκάπτει βαθύτερον
in (the)-house the customary(-things) doing she-digs-up deeper
λοιπὸν βάραθρον, καὶ τὰ πτερὰ τῆς ἡδονῆς πάντοθεν

ἀναπετάσασα, ὥσπερ ἐν μέσοις δικτύοις λοιπὸν ἔχουσα
having-spread-out as in mid nets henceforth having
τὸν νέον, ἐπεισέρχεται, καὶ μόνη μόνον ἀπολαβοῦσα·
the young(-man) she-comes-in and alone (him)-alone having-caught
μᾶλλον δὲ οὐ μόνη· καὶ γὰρ καὶ τὴν ἡλικίαν καὶ τὴν
rather but not alone and for both the age and the
φύσιν καὶ τὰ αὐτῆς μηχανήματα συμπαρόντα εἶχεν αὐτῇ·
nature and the her engines present-with(-her) she-had with-her
ἕλκει λοιπὸν ἐπὶ τὴν ἄδικον πρᾶξιν πρὸς βίαν τὸν
she-drags henceforth to the unjust deed by force the
γενναῖον ἐκεῖνον.
noble that(-one)
Τί τοῦ πειρασμοῦ τούτου χαλεπώτερον; ποίας τοῦτο
what than-the trial this (is)-more-grievous than-what this
καμίνου καὶ φλογὸς οὐ σφοδρότερον, νέον σφριγῶντα,
furnace and flame not more-violent (a)-young(-man) vigorous
δοῦλον, ἔρημον, ἄπολιν, ξένον, μετανάστην, ὑπὸ δεσποίνης
(a)-slave desolate cityless (a)-stranger (an)-exile by (a)-mistress
οὕτως ἀκολάστου καὶ μαινομένης, οὕτω πλουτούσης, καὶ
so licentious and raging so rich and
τοσαύτην δυναστείαν περιβεβλημένης, ἐν ἐρημίᾳ τοσαύτῃ
so-great power clothed-with in solitude so-great
(συντελεῖ γὰρ καὶ τοῦτο πρὸς τὴν τοιαύτην ἅλωσιν),
contributes for also this to the such capture
συνειλημμένον κατέχεσθαί τε καὶ κολακεύεσθαι, καὶ πρὸς
seized to-be-held both and to-be-flattered and to
εὐνὴν ἄγεσθαι δεσποτικὴν, καὶ ταῦτα μετὰ τοσούτους
(the)-bed to-be-led of-his-mistress and these-things after so-many
κινδύνους καὶ ἐπιβουλάς; Οἶσθα γὰρ ὡς οἱ πολλοὶ,
dangers and plots you-know for how the many
ὅταν τεταριχευμένοι τυγχάνωσι, καὶ ἐν τοῖς δεινοῖς ὦσιν,
when pickled they-happen-to-be and in the terrors are

εἶτα εἰς τρυφὴν καλῶνται, καὶ ἄνεσιν, καὶ τὸν ὑγρὸν
then to luxury are-called and ease and the soft
καὶ διαλελυμένον βίον, προθυμότερον ἐπιτρέχουσιν. Ἀλλ'
and dissolute life more-eagerly they-run-to but
οὐκ ἐκεῖνος, ἀλλ' ἔμενε διὰ πάντων τὴν οἰκείαν
not that(-one) but he-remained through all the own
καρτερίαν ἐπιδεικνύμενος. Ἐγὼ τὸν θάλαμον ἐκεῖνον καὶ
endurance showing I the chamber that both
τὴν Βαβυλωνίαν κάμινον, καὶ τὸν τοῦ Δανιὴλ λάκκον τῶν
the Babylonian furnace and the — of-Daniel pit of-the
λεόντων, καὶ τὴν γαστέρα τοῦ θαλαττίου θηρίου, εἰς ἣν
lions and the belly of-the sea beast into which
ὁ προφήτης ἐνέπεσε, θαῤῥῶν ἴσην ἂν προσείποιμι, μᾶλλον
the prophet fell confidently equal — would-call(-it) rather
δὲ καὶ πολλῷ τούτων χαλεπώτερον. Ἐκεῖ μὲν γὰρ τῆς
and even far than-these more-grievous there indeed for of-the
ἐπιβουλῆς ἡ νίκη σώματος ἦν ἀπώλεια, ἐνταῦθα δὲ
plot the victory of-(the)-body was (the)-destruction here but
ψυχῆς πανωλεθρία, καὶ θάνατος ἀθάνατος, καὶ συμφορὰ
of-(the)-soul utter-ruin and death deathless and calamity
παραμυθίαν οὐκ ἔχουσα. Οὐ ταύτῃ δὲ μόνον χαλεπὸς ὁ
comfort not having not in-this-way and only grievous the
λάκκος οὗτος ἦν, ἀλλ' ὅτι μετὰ τῆς βίας καὶ τοῦ δόλου,
pit this was but because with the force and the guile
καὶ πολλῆς ἔγεμε τῆς κολακείας, πολλοῦ τοῦ ποικίλου
and much it-was-full-of the flattery much the varied
καὶ παντοδαποῦ πυρὸς, οὐ σῶμα καίοντος, ἀλλὰ αὐτὴν
and manifold fire not (the)-body burning but very
φλέγοντος τὴν ψυχήν. Καὶ τοῦτο αὐτὸ δηλῶν ὁ Σολομὼν
inflaming the soul and this very showing — Solomon
ὁ μάλιστα ταῦτα μετὰ ἀκριβείας εἰδὼς ἡλίκον ἐστὶ τὸ
he(-who) most these-things with exactness knowing how-great is the

γυναικὶ συμβάλλειν ἄνδρα ἐχούσῃ· Ἀποδήσει τις, φησὶ,
with-a-woman to-consort (a)-husband having will-bind someone he-says
πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει
fire in (his)-bosom the and garments not will-he-burn or will-walk
τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ καταφλέξει;
someone on coals of-fire the and feet not will-he-scorch
Οὕτως ὁ πορευόμενος πρὸς γυναῖκα ὕπανδρον καὶ
so the(-one) going to (a)-woman married and
πᾶς ὁ ἁπτόμενος αὐτῆς, οὐκ ἀθῳωθήσεται. Ὃ δὲ
every(-one) the(-one) touching her not will-be-held-innocent what and
λέγει, τοιοῦτόν ἐστιν· Ὥσπερ, φησὶν, οὐκ ἔνι ὁμιλοῦντα
he-says such is just-as he-says not it-is-possible consorting
πυρὶ, μὴ κατακαίεσθαι, οὕτως οὐδὲ γυναιξὶ συνόντα
with-fire not to-be-burned so not-even with-women being-with
διαφεύγειν τὸν ἐντεῦθεν ἐμπρησμόν. Οὗτος δὲ ὃ πολλῷ
to-escape the from-here burning this(-man) but what far
χαλεπώτερον ἦν ὑπέμεινεν. Οὐ γὰρ αὐτὸς αὐτῆς ἥψατο, ἀλλ'
more-grievous was endured not for he her touched but
ὑπ' ἐκείνης κατείχετο, μόνος ὑπὸ μόνης ἀπειλημμένος·
by that(-woman) was-held alone by (her)-alone caught
καίτοι τοσούτοις ἤδη κακοῖς κατειργασμένος, καὶ τοσαύταις
although by-so-many already evils worn-down and by-so-many
τεταριχευμένος ἐπιβουλαῖς, καὶ ἀνέσεως ἐπιθυμῶν καὶ ἀδείας.
pickled plots and ease desiring and security
13 Ἀλλ' ὅμως ἐν τοσούτοις δικτύοις ὢν, καὶ ποικίλον θηρίον
but nevertheless in so-many nets being and (a)-varied beast
ὁρῶν αὐτῷ προσβάλλον, καὶ διὰ πάντων αὐτὸν καταξέον,
seeing him attacking and through all him scraping
διὰ τῆς ἁφῆς, διὰ τῆς φωνῆς, διὰ τῶν ὀμμάτων, διὰ
through the touch through the voice through the eyes through
τῶν χρωμάτων, διὰ τῆς ὑπογραφῆς, διὰ τῶν χρυσίων,
the colors through the painting through the gold

διὰ τῶν μύρων, διὰ τῶν ἱματίων, διὰ τοῦ ἤθους, διὰ
through the perfumes through the garments through the manner through
τῶν ῥημάτων, διὰ τοῦ κόσμου τοῦ περικειμένου, διὰ τῆς
the words through the ornament the worn through the
μονώσεως, διὰ τοῦ λανθάνειν, διὰ τοῦ πλούτου, διὰ
solitude through the escaping-notice through the wealth through
τῆς δυναστείας, ἔχουσαν μετὰ τούτων συνεργὸν, ὅπερ
the power having with these (as)-fellow-worker what
ἔμπροσθεν εἶπον, τὴν ἡλικίαν, τὴν φύσιν, τὴν δουλείαν, τὸ
before I-said the age the nature the slavery the
ἐν ἀλλοτρίᾳ εἶναι, πᾶσαν ἐνίκησε τὴν φλόγα ἐκείνην.
in (a)-foreign(-land) to-be all he-conquered the flame that
Ἐγὼ τοῦτον τὸν πειρασμὸν καὶ τοῦ φθόνου τῶν ἀδελφῶν,
I this the trial both than-the envy of-the brothers
καὶ τοῦ μίσους τοῦ συγγενικοῦ, καὶ τῆς πράσεως, καὶ τῆς
and the hatred the of-kin and the sale and the
τῶν βαρβάρων δεσποτείας, καὶ τῆς μακρᾶς ἀποδημίας,
of-the barbarians mastery and the long absence-abroad
καὶ τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς, καὶ τοῦ δεσμωτηρίου,
and the in (a)-foreign(-land) sojourn and the prison
καὶ τῆς ἁλύσεως, καὶ τοῦ μακροῦ χρόνου, καὶ τῆς αὐτόθι
and the chain and the long time and the there
ταλαιπωρίας πολὺ χαλεπώτερον εἶναί φημι· καὶ γὰρ περὶ
misery much more-grievous to-be I-say and for about
τῶν ἐσχάτων ὁ κίνδυνος ἦν. Ἐπειδὴ δὲ καὶ τοῦτον
the utmost(-things) the danger was since and also this
διέφυγε τὸν πόλεμον, καὶ ἐγένετο ἐνταῦθα πνεῦμα δρόσου
he-escaped the war and there-was here (a)-breath of-dew
διασυρίζον, ἀπό τε τῆς τοῦ Θεοῦ χάριτος καὶ τῆς ἀρετῆς
whistling from both the — of-God grace and the virtue
τοῦ νέου· τοσοῦτο γὰρ αὐτῷ περιῆν ἀταραξίας καὶ
of-the young(-man) so-much for in-him abounded of-calm and

σωφροσύνης, ὅτι καὶ τὴν τῆς ἐκείνης μανίαν καταλῦσαι
chastity that even the the of-that(-woman) madness to-end
ἐσπούδασε· πλὴν ἐπειδὴ αὐτὸς ἐξῆλθεν ἀνέπαφος, ὥσπερ
he-was-eager however since he went-out untouched like
οἱ νεανίσκοι τὴν Περσικὴν διαφυγόντες φλόγα (Οὐδὲ γὰρ
the young-men the Persian having-escaped flame nor for
ὀσμὴ πυρὸς ἦν ἐν αὐτοῖς, φησὶ), καὶ σωφροσύνης μέγας
(the)-smell of-fire was on them he-says and of-chastity (a)-great
ἀθλητὴς ἀνεδείχθη, καὶ ἀδάμαντα ἐμιμήσατο. Ἴδωμεν
athlete he-was-shown and (the)-adamant imitated let-us-see
οἵων εὐθέως ἀπήλαυσε, καὶ τίνα ἔπαθλα διαδέχεται τὸν
what-kind at-once he-enjoyed and what prizes succeed the
στεφανίτην. Ἐπιβουλαὶ πάλιν, καὶ βάραθρα, καὶ θάνατος,
crowned(-victor) plots again and pits and death
καὶ κίνδυνοι, καὶ συκοφαντίαι, καὶ μῖσος ἄλογον. Ἡ γὰρ
and dangers and false-accusations and hatred irrational the for
ἀθλία τότε ἐκείνη θυμῷ παραμυθεῖται τὸν ἔρωτα, καὶ
wretched then that(-woman) with-wrath soothes the love and
πάθος συνάπτει πάθει, καὶ ἐπιθυμίᾳ ἀκολάστῳ προστίθησιν
passion joins to-passion and to-desire licentious adds
ὀργὴν ἄδικον, καὶ μετὰ τὴν μοιχείαν γίνεται καὶ ἀνδροφόνος.
wrath unjust and after the adultery becomes also (a)-murderess
Καὶ πνέουσα θηριωδίας πολλῆς καὶ φόνιον βλέπουσα,
and breathing of-savagery much and murder looking
καθίζει δικαστήριον διεφθαρμένον, τὸν δεσπότην τὸν ἐκείνου,
she-sets-up (a)-court corrupted the master the his
τὸν ἄνδρα τὸν ἑαυτῆς, τὸν βάρβαρον, τὸν Αἰγύπτιον,
the husband the her-own the barbarian the Egyptian
καὶ εἰσάγει κατηγορίαν ἀμάρτυρον. Καὶ οὐδὲ ἀφίησιν
and brings-in (an)-accusation without-witness and not-even lets
εἰσελθεῖν εἰς δικαστήριον τὸν ἐγκαλούμενον, ἀλλ' ἠρέμα
to-come-in into court the accused but quietly

κατηγορεῖ τῇ τε ἀνοίᾳ καὶ τῇ εὐνοίᾳ τοῦ δικάζοντος,
she-accuses in-the both folly and the goodwill of-the judging(-one)
τῇ τε ἀξιοπιστίᾳ τοῦ οἰκείου προσώπου, καὶ τῷ
in-the both credibility of-the own person and in-the
δοῦλον εἶναι τὸν ἐγκαλούμενον θαῤῥοῦσα, καὶ τὰ ἐναντία
(a)-slave to-be the accused trusting and the opposite
εἰποῦσα τῶν γενομένων ἐκράτησε τοῦ δικαστοῦ, καὶ τὴν
having-said of-the events she-prevailed-over the judge and the
νικῶσαν ἔπεισε ψῆφον ἐξενεγκεῖν, καὶ καταδικάσαι
winning persuaded(-him) verdict to-bring-out and to-condemn
τὸν ἀνεύθυνον, καὶ τιμωρίαν ἐπιθεῖναι χαλεπωτάτην, καὶ
the blameless and punishment to-lay-on most-grievous and
δεσμωτήριον εὐθέως, καὶ ἀπαγωγὴ, καὶ ἅλυσις.
prison at-once and arrest and chain
Καὶ μηδὲ ἰδὼν δικαστὴν κατεκρίθη ὁ θαυμαστὸς
and not-even having-seen (a)-judge was-condemned the wonderful
ἐκεῖνος ἀνήρ. Καὶ τὸ δὴ χαλεπώτερον, κατεκρίνετο ὡς
that man and the indeed more-grievous he-was-condemned as
μοιχὸς, ὡς δεσποτικῆς ἐπιθυμήσας εὐνῆς, ὡς ἀλλότριον
(an)-adulterer as of-his-master's having-desired bed as another's
διορύξας γάμον, ὡς ἁλοὺς, ὡς ἐληλεγμένος. Ὅ τε
having-broken-into marriage as caught as convicted the both
γὰρ δικαστὴς, ἥ τε κατήγορος παρὰ τοῖς πολλοῖς
for judge the and accuser among the many
καὶ τὴν ἀλήθειαν οὐκ εἰδόσιν, ἥ τε τιμωρία ἑπομένη
and the truth not knowing the and punishment following
ἀξιόπιστον ἐποίει τὸ δρᾶμα φαίνεσθαι. Ἀλλ' οὐδὲν τούτων
credible made the drama to-appear but nothing of-these
ἐθορύβησεν ἐκεῖνον, οὔτε εἶπεν· Αὗται τῶν ὀνείρων αἱ
alarmed that(-man) nor he-said these of-the dreams (are)-the
ἀμοιβαί; τοῦτο τῶν ὄψεων ἐκείνων τὸ τέλος; ταῦτα τῆς
rewards this of-the visions those the end these of-the

σωφροσύνης τὰ ἔπαθλα; Κρίσις ἄλογος, καὶ ψῆφος ἄδικος,
chastity the prizes judgment irrational and verdict unjust
καὶ πονηρὰ πάλιν ὑπόληψις. Ὥσπερ γὰρ ἡταιρηκὼς
and evil again repute as for having-played-the-harlot
ἐξεβλήθην ἔναγχος τῆς πατρῴας οἰκίας, ὡς μοιχὸς
I-was-cast-out lately from-the paternal house as (an)-adulterer
καὶ σωφροσύνην διορύξας γυναικὸς εἰς δεσμωτήριον
and chastity having-broken-into of-(a)-woman into prison
εἰσάγομαι νῦν, καὶ ταῦτα περὶ ἐμοῦ πάντες ψηφίζονται.
I-am-brought now and these-things about me all vote
Καὶ οἱ μὲν ἀδελφοὶ, οἱ μέλλοντές με προσκυνεῖν (τοῦτο
and the indeed brothers those about me to-worship this
γὰρ τὰ ὀνείρατα ἐδήλου), ἐν ἐλευθερίᾳ καὶ ἀδείᾳ καὶ
for the dreams showed (are)-in freedom and security and
τρυφῇ, καὶ πατρίδι καὶ οἰκίᾳ πατρῴᾳ· ἐγὼ δὲ ὁ
luxury and fatherland and house paternal I but the(-one)
μέλλων αὐτῶν κρατεῖν, μετὰ τυμβωρύχων, μετὰ λῃστῶν,
about over-them to-rule with tomb-robbers with robbers
μετὰ βαλαντιοτόμων ἐνταῦθα δέδεμαι· οὔτε μετὰ τὸ τῆς
with purse-cutters here am-bound nor after the from-the
πατρίδος ἐκπεσεῖν θορύβων ἀπηλλαγμένος καὶ πραγμάτων,
fatherland to-fall-out from-alarms freed and troubles
ἀλλὰ καὶ ἐν ἀλλοτρίᾳ πάλιν βάραθρα ἡμᾶς καὶ ξίφη
but even in (a)-foreign(-land) again pits us and swords
ἠκονημένα διαδέχεται. Καὶ ἡ μὲν τοιαῦτα δράσασα
sharpened succeed and the(-one) indeed such-things having-done
καὶ συκοφαντήσασα, δι' ἑκατέρων τῶν τολμημάτων
and having-falsely-accused for both the daring-deeds
ἀποτμηθῆναι δικαία, χορεύει καὶ σκιρτᾷ νῦν ὥσπερ ἐπὶ
to-be-cut-off just dances and leaps now as over
τροπαίοις καὶ λαμπροῖς ἐπινικίοις ἐστεφανωμένη· ἐγὼ δὲ
trophies and splendid victory-songs crowned I but

ὁ μηδὲν ἠδικηκὼς τὴν ἐσχάτην τίνω δίκην. Οὐδὲν
the(-one) nothing having-done-wrong the utmost pay penalty none
τούτων ἐκεῖνος εἶπεν, οὐδὲ ἐνενόησεν· ἀλλ᾽ ὥσπερ ἀθλητὴς
of-these that(-man) said nor thought but as (an)-athlete
διὰ στεφάνων ὁδεύων, οὕτως ἔχαιρε, καὶ ἠὐφραίνετο, οὔτε
through crowns traveling so he-rejoiced and was-glad neither
τοῖς ἀδελφοῖς, οὔτε τῇ μοιχαλίδι μνησικακῶν. Πόθεν
the brothers nor the adulteress bearing-a-grudge-against whence
τοῦτο δῆλον; Ἐξ ὧν αὐτὸς πρός τινα τῶν αὐτόθεν
(is)-this clear from what he to some(-one) of-those there
δεδεμένων διελέχθη ποτέ. Τοσοῦτον γὰρ ἀπεῖχεν ὑπὸ
bound discoursed once so-far for he-was-distant by
ἀθυμίας ἁλῶναι, ὅτι καὶ ἑτέροις ἔλυσε λύπας. Ἐπειδὴ γὰρ
despondency to-be-caught that even for-others he-dissolved griefs when for
εἶδέ τινας αὐτόθι τεταραγμένους καὶ συγκεχυμένους καὶ
he-saw some there troubled and confounded and
ἀθυμοῦντας, προσῆλθεν εὐθέως τὴν αἰτίαν εἰσόμενος. Καὶ
despondent he-approached at-once the cause going-to-know and
μαθὼν ὅτι ἐξ ὄψεως ὀνειράτων ὁ θόρυβος, ἔλυσε
having-learned that from (a)-vision of-dreams (came)-the alarm he-solved
τὰ ὀνείρατα. Εἶτα παρακαλῶν ἀναμνῆσαι τὸν βασιλέα,
the dreams then entreating to-remind the king
τῆς ἀπαλλαγῆς ἕνεκεν τῆς αὐτοῦ· εἰ γὰρ καὶ γενναῖος
for-the release for-the-sake-of the his(-own) if for even noble
καὶ θαυμαστὸς ἦν, ἀλλ᾽ ἄνθρωπος ἦν καὶ οὐκ ἐβούλετο
and wonderful he-was but (a)-man he-was and not he-wished
ταῖς ἁλύσεσιν ἐνταλαιπωρεῖσθαι ἐκείναις· παρακαλῶν τοίνυν
in-the chains to-suffer those entreating therefore
μνησθῆναι αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ πεῖσαι
to-make-mention of-him to the king and to-persuade(-him)
ἀφεῖναι αὐτὸν τῶν δεσμῶν, καὶ ἀναγκαζόμενος καὶ τὴν
to-release him from-the bonds and compelled also the

αἰτίαν εἰπεῖν, δι᾽ ἣν ἐνεβέβλητο, ὥστε κἀκεῖνον τὸν
cause to-tell for which he-had-been-thrown(-in) so-that and-that(-one) the(-one)
ὑπὲρ αὐτοῦ δεόμενον εὐπρόσωπον ἔχειν πρόφασιν τῆς ὑπὲρ
for him asking (a)-fair-seeming to-have pretext of-the for
αὐτοῦ συνηγορίας, οὐδενὸς ἐμνημόνευσε τῶν ἠδικηκότων,
him advocacy of-none he-made-mention of-those having-wronged(-him)
ἀλλ᾽ ἀπαλλάξας ἑαυτὸν τῶν ἐγκλημάτων ἔστη μέχρι
but having-freed himself from-the charges he-stopped as-far-as
τούτου μόνον, καὶ οὐ προσέθηκε τοὺς εἰς αὐτὸν
this only and not he-added those against him
πεπλημμεληκότας. Καὶ γὰρ Ἐγὼ, φησὶ, κλοπῇ ἐκλάπην
having-offended and for I he-says by-theft I-was-stolen
ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα οὐδὲν, καὶ
from (the)-land of-(the)-Hebrews and here not I-did nothing and
ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον. Καὶ τίνος ἕνεκεν οὐ
they-threw me into the pit this and of-what for-the-sake not
λέγεις τὴν πόρνην, τὴν μοιχαλίδα, τοὺς ἀδελφοκτόνους,
do-you-tell(-of) the harlot the adulteress the brother-killers
τὸν φθόνον, τὴν πρᾶσιν, τὴν μανίαν τῆς δεσποίνης,
the envy the sale the madness of-the mistress
τὴν ἔφοδον, τὴν ἀκολασίαν, τὰ δίκτυα, τὰ μηχανήματα,
the assault the licentiousness the nets the engines
τὴν συκοφαντίαν, τὴν ἄδικον κρίσιν, τὸν διεφθαρμένον
the false-accusation the unjust judgment the corrupted
δικαστὴν, τὴν παράνομον ἀπόφασιν, τὴν καταδίκην τὴν οὐκ
judge the lawless sentence the condemnation the not
ἔχουσαν λόγον; διὰ τί ταῦτα σιγᾷς καὶ κρύπτεις;
having reason for what these-things are-you-silent-about and hide(-them)
Ὅτι μνησικακεῖν οὐκ οἶδα, φησίν· ὅτι ἐμοὶ ταῦτα
because to-bear-a-grudge not I-know he-says because for-me these-things
στέφανοι καὶ βραβεῖα, καὶ μείζονος ἐμπορίας ὑπόθεσις.
(are)-crowns and prizes and of-greater merchandise (an)-occasion

Εἶδες ψυχὴν φιλόσοφον; εἶδες τῆς ὀργῆς καθαρὰν 14
did-you-see (a)-soul philosophic did-you-see from-the wrath pure
καὶ τῶν δικτύων ὑψηλοτέραν; εἶδες συναλγοῦντα τοῖς
and than-the nets loftier did-you-see (him)-grieving-with those
ἠδικηκόσι μᾶλλον ἢ μνησικακοῦντα; Ὥστε γὰρ μήτε
having-wronged(-him) rather than bearing-a-grudge so-as for neither
τοὺς ἀδελφοὺς εἰς μέσον ἐναγαγεῖν, μήτε τὴν αἱμοβόρον
the brothers into (the)-midst to-bring nor the bloodthirsty
ἐκείνην, Κλοπῇ, φησὶν, ἐκλάπην ἐκ γῆς Ἑβραίων,
that(-woman) by-theft he-says I-was-stolen from (the)-land of-(the)-Hebrews
καὶ ὧδε οὐκ ἐποίησα οὐδέν. Καὶ οὐδαμοῦ προσώπου
and here not I-did nothing and nowhere of-(a)-person
μέμνηται, οὐδὲ τοῦ λάκκου, οὐδὲ τῶν Ἰσμαηλιτῶν,
he-makes-mention nor of-the pit nor of-the Ishmaelites
οὐδὲ ἄλλου τινός. Ἀλλ' ὅμως καὶ κατὰ ταῦτα αὐτὸν
nor of-other anyone but nevertheless also after these-things him
οὐχ ὁ τυχὼν διεδέξατο πειρασμός. Ὁ γὰρ τοσαύτης
not the ordinary succeeded trial the(-one) for such
παρ' αὐτοῦ παρακλήσεως τυχὼν, καὶ τῶν δεσμῶν
from him comfort having-obtained and from-the bonds
κατὰ τὴν τούτου πρόῤῥησιν ἐλευθερωθεὶς, καὶ ἐπὶ τὴν
according-to the his prediction freed and to the
προτέραν ἀνακληθεὶς τιμὴν, τῆς εὐεργεσίας ἐπελάθετο,
former recalled honor the benefaction forgot
καὶ τῆς τοῦ δικαίου ἱκετηρίας. Καὶ ὁ μὲν οἰκέτης
and the of-the righteous(-man) supplication and the indeed servant
ἐν βασιλικαῖς ἦν αὐλαῖς πολλῆς ἀπολαύων εὐημερίας·
in royal was courts much enjoying prosperity
ὁ δὲ ὑπὲρ τὸν ἥλιον λάμπων, καὶ οὕτω φαιδρὰς
the(-other) but beyond the sun shining and so bright
ἀφιεὶς τῆς ἀρετῆς τὰς ἀκτῖνας, ἔτι δεσμωτήριον ᾤκει,
sending-forth of-the virtue the rays still (a)-prison inhabited

καὶ οὐδεὶς ἦν ὁ ἀναμιμνήσκων τὸν βασιλέα. Ἐχρῆν
and no-one was the(-one) reminding the king it-was-needful
γὰρ αὐτῷ πλείους πλακῆναι στεφάνους, καὶ μείζονα
for for-him more to-be-woven crowns and greater
παρασκευασθῆναι βραβεῖα· διὸ καὶ μακρότεροι τῶν
to-be-prepared prizes therefore also longer than-the
δρόμων οἱ δίαυλοι τότε ἐπήγνυντο· ἐῶντος μὲν τοῦ Θεοῦ
courses the double-courses then were-fixed allowing indeed — God
μένειν τὰ σκάμματα, οὐ μὴν τέλεον ἐγκαταλείποντος,
to-remain the arenas not however wholly forsaking(-him)
ἀλλὰ τοσοῦτον συγχωροῦντος τοῖς ἐπιβουλεύουσιν τὰ
but so-much permitting to-those plotting the(-things)
αὐτῶν ἐπιδείκνυσθαι, ὅσον μηδὲ ἀφανίσαι τὸν ἀθλητὴν,
their to-show as not-even to-destroy the athlete
μηδὲ ἐκποδὼν ποιῆσαι τῆς ἀρετῆς τὸν ἀνταγωνιστήν.
nor out-of-the-way to-make of-the virtue the contestant
Εἰς λάκκον μὲν γὰρ αὐτὸν ἐμβληθῆναι συνεχώρησε, καὶ
into (a)-pit indeed for him to-be-thrown he-allowed and
τὸ ἱμάτιον αἱμαχθῆναι, εἰς δὲ σφαγὴν αὐτοὺς ἐλθεῖν οὐκ
the garment to-be-bloodied into but slaughter them to-come not
ἀφῆκεν· ἀλλὰ συνεβούλευσε μὲν τοῦτο ὁ ἀδελφὸς, τὸ δὲ
he-let(-them) but advised indeed this the brother the but
πᾶν τῆς τοῦ Θεοῦ προνοίας ἐγένετο. Τοῦτο καὶ ἐπὶ
whole of-the — of-God providence was this also in-the-case-of
τῆς Αἰγυπτιακῆς συνέβη γυναικός. Τίνος γὰρ ἕνεκεν, εἰπέ
the Egyptian happened woman of-what for for-the-sake tell
μοι, ὁ θερμὸς οὕτω, καὶ ἀκόλαστος (ἴστε γὰρ τῶν
me the hot so and licentious you-know for of-the
Αἰγυπτίων τὸ γένος), ὁ θυμώδης καὶ ὀργίλος (καὶ γὰρ
Egyptians the race the passionate and wrathful and for
τοῦτο μεθ' ὑπερβολῆς αὐτοῖς πρόσεστι τὸ πάθος), ὃν
this with excess to-them belongs the passion whom

ἐπίστευσεν εἶναι μοιχὸν καὶ γυναῖκα ἠδικηκέναι τὴν
he-believed to-be (an)-adulterer and (his)-wife to-have-wronged the
αὐτοῦ, οὐκ ἀπέτεμεν εὐθέως, οὐδὲ πυρὶ παρέδωκεν, ἀλλ'
his not cut(-him)-off at-once nor to-fire handed(-him)-over but
οὕτως ἀλόγιστος ὢν, ὡς ἐκ μιᾶς μοίρας ἀποφήνασθαι, καὶ
so unreasoning being as from one side to-declare and
μηδὲ λόγου μεταδοῦναι τῷ ἐγκαλουμένῳ, ἐν τῷ καιρῷ τῆς
not-even of-word to-give-a-share to-the accused in the time of-the
τιμωρίας πολλὴν ἐπιείκειαν ἐπεδείξατο, καὶ ταῦτα, ὁρῶν
punishment much fairness showed and that seeing
τὴν γυναῖκα μαινομένην, λυττῶσαν, βίαν ἀποδυρομένην,
the wife raging maddened (the)-force bewailing
τὰ ἱμάτια διερρωγότα περιφέρουσαν, καὶ μειζόνως καὶ
the garments torn carrying-around and more-greatly also
ἐντεῦθεν ἐκκαιομένην, καὶ θρηνοῦσαν καὶ ὀλοφυρομένην;
from-here inflamed and lamenting and wailing
Ἀλλ' ὅμως τούτων οὐδὲν αὐτὸν εἰς σφαγὴν ἐξῆψε.
but nevertheless of-these nothing him to slaughter inflamed
Πόθεν, εἰπέ μοι; Οὐκ εὔδηλον ὅτι ὁ τοὺς λέοντας
whence tell me (is-it)-not clear that the(-one) the lions
χαλινώσας, καὶ τὴν κάμινον καταψύξας, οὗτος καὶ θηρίου
having-bridled and the furnace having-cooled this(-one) also of-beast
τούτου τὸν ἄμετρον ἐπέσχε θυμὸν, καὶ τὴν ἄφατον ὀργὴν
this the immoderate checked wrath and the unspeakable anger
ἔσβεσεν, ὡς κερασθῆναι συμμέτρως τὴν τιμωρίαν; Τοῦτο
quenched so-as to-be-mixed in-measure the punishment this
καὶ ἐν τῷ δεσμωτηρίῳ συμβὰν ἴδοι τις ἄν. Δεθῆναι
also in the prison happening could-see someone — to-be-bound
μὲν γὰρ αὐτὸν συνεχώρησε, καὶ μετὰ τῶν καταδίκων
indeed for him he-allowed and with the condemned
εἶναι, τῆς δὲ τοῦ δεσμοφύλακος ἀπηνείας ἐξήρπασεν.
to-be from-the and of-the jailer harshness he-snatched(-him)

Οἶσθα γὰρ οἷόν ἐστι δεσμοφύλαξ· ἀλλ' ἐκείνῳ τότε
you-know for what-kind is (a)-jailer but to-that(-man) then
πρᾶος καὶ ἥμερος ἦν, καὶ οὐ μόνον οὐκ ἀπέτεινεν αὐτὸν
gentle and mild he-was and not only not he-strained him
πόνοις τισὶν, ἀλλὰ καὶ ἄρχοντα πάντων ἐποίησε τῶν
with-toils any but even ruler of-all he-made(-him) of-those
αὐτόθι, καὶ ταῦτα ὡς μοιχὸν δεξάμενος, κατάδικον,
there and that as (an)-adulterer having-received(-him) condemned
καὶ μοιχὸν ἐπίσημον. Οὐ γὰρ εἰς οἰκίαν εὐτελῆ, ἀλλ'
and (an)-adulterer notorious not for into (a)-house cheap but
εἰς μεγάλην καὶ λαμπρὰν τὸ δρᾶμα τοῦτο τετολμῆσθαι
into (a)-great and splendid(-one) the drama this to-have-been-dared
ἐνομίζετο. Ἀλλ' ὅμως οὐδὲν τούτων ἐκεῖνον ἐφόβησεν, οὐδὲ
was-thought but nevertheless nothing of-these that(-man) frightened nor
ἔπεισεν ἐκείνῳ γίνεσθαι χαλεπόν. Ἀλλὰ καὶ οἱ στέφανοι
persuaded(-him) for-him to-be grievous but even the crowns
ἀπὸ τῶν παθημάτων ἐπλέκοντο· καὶ ἡ τοῦ Θεοῦ συμμαχία
from the sufferings were-woven and the — of-God alliance
μετὰ πολλῆς ἐπέῤῥει τῆς δαψιλείας. Ἐβουλόμην καὶ ἕτερον
with much flowed the abundance I-wished also another
προσθεῖναι τῇ ἐπιστολῇ μῆκος· ἀλλ' ἐπειδὴ καὶ τοῦτο μετὰ
to-add to-the letter length but since even this with
πολλῆς τῆς περιουσίας οἶμαι τὸ μέτρον ὑπερβεβηκέναι,
much the excess I-think the measure to-have-overstepped
ἐνταῦθα καταλύσας τὸν λόγον, ἐκεῖνο παρακαλῶ σου τὴν
here having-ended the word that(-thing) I-beseech your the
εὐλάβειαν, ὅπερ ἀεὶ διετέλεσα παρακαλῶν, ἀθυμίας μὲν
piety which always I-continued beseeching from-despondency indeed
ἀπαλλάττεσθαι, δοξάζειν δὲ τὸν Θεὸν, ὅπερ ἀεὶ πεποίηκας,
to-be-freed to-glorify but — God which always you-have-done
καὶ ποιοῦσα διατελεῖς, χάριτας ὁμολογοῦσα ὑπὲρ πάντων
and doing continue thanks confessing for all

αὐτῷ τῶν χαλεπῶν τούτων καὶ ὀδυνηρῶν. Οὕτω γὰρ
to-him the grievous(-things) these and painful so for
καὶ αὐτὴ τὰ μέγιστα ἀγαθὰ καρπώσῃ, καὶ τῷ διαβόλῳ
also you-yourself the greatest goods you-will-reap and to-the devil
καιρίαν δώσεις πληγὴν, καὶ πολλὴν ἡμῖν παρέξεις
(a)-mortal you-will-give blow and great to-us will-furnish
παράκλησιν, καὶ τῆς ἀθυμίας τὸ νέφος μετὰ πολλῆς
comfort and of-the despondency the cloud with much
ἀφανίσαι δυνήσῃ τῆς εὐκολίας, καὶ καθαρᾶς ἀπολαῦσαι
to-make-vanish you-will-be-able the ease and pure to-enjoy
γαλήνης. Μὴ δὴ καταμαλακίζου, ἀλλ' ἀνενεγκοῦσα
calm do-not indeed go-soft but recovering
ἀπὸ τοῦ καπνοῦ τούτου (καπνοῦ γὰρ, ἐὰν θέλῃς, ῥᾴδιον
from the smoke this (of)-smoke for if you-wish easily
διασκεδάσεις πᾶσαν τὴν ἀθυμίαν ταύτην), δῆλον τοῦτο
you-will-scatter all the despondency this clear this
πάλιν ποίησον ἡμῖν, ἵνα καὶ πόῤῥωθεν ὄντες, πολλὴν ἀπὸ
again make to-us that even far-away being great from
τῶν τοιούτων γραμμάτων καρπωσώμεθα τὴν εὐφροσύνην.
the such letters we-may-reap the gladness

Chrysostom reports the Armenian winter and his weak stomach without complaint, keeping to one warm room, and begs Olympias to take care of her body and to use the medicine Syncletia sent him, which cured him, and to send for more. Her sickness, borne with thanks, earns a crown, as Lazarus's did and Timothy's; she must not wish for death, for those under grace are asked for more than Job. Paul handed the incestuous Corinthian over to destruction of the flesh to cleanse him. He tells of his own escape from hardships on the road, sends his treatise That No One Is Harmed, *and grieves for the monk Pelagius.*

1 Τῆς σφοδρότητος ἕνεκεν τοῦ χειμῶνος, καὶ τῆς τοῦ
of-the violence for-the-sake-of the winter and the of-the
στομάχου ἡμῶν ἀσθενείας, καὶ τῶν Ἰσαυρικῶν καταδρομῶν,
stomach our weakness and the Isaurian raids
μηδὲν ἕνεκεν ἡμῶν μερίμνα, μηδὲ κατάτεινε σαυτὴν
nothing for-the-sake-of us be-anxious nor strain yourself
φροντίσιν. Ὁ μὲν γὰρ χειμὼν γέγονεν οἷον εἰκὸς ἐν
with-cares the indeed for winter has-been such-as (is)-likely in
Ἀρμενίᾳ εἶναι· οὐδὲν γὰρ δεῖ πλέον εἰπεῖν· ἡμᾶς δὲ οὐ
Armenia to-be nothing for need more to-say us but not
μέγα τι παραβλάπτει. Ταῦτα γὰρ προορῶντες, πολλὰ
great anything it-harms these-things for foreseeing many-things
μηχανώμεθα πρὸς τὸ τὴν ἐντεῦθεν διακρούσασθαι βλάβην,
we-contrive for the the from-here to-beat-off harm
καὶ πῦρ ἀνακαίοντες συνεχῶς, καὶ τὸ δωμάτιον, ἔνθα
both fire kindling continually and the room where
καταμένομεν, πανταχόθεν περιφράττοντες, καὶ ἐπιβλήμασι
we-stay from-every-side fencing-around and with-coverings
κεχρημένοι πλείοσι, καὶ διὰ παντὸς ἔνδον μένοντες.
using more and through all within remaining
Ὅπερ ἐστὶ μὲν ἡμῖν ἐπαχθὲς, πλὴν διὰ τὸ ἐντεῦθεν
which is indeed for-us burdensome except because-of the from-here

κέρδος φορητόν. Ἕως μὲν γὰρ ἔνδον μένωμεν, οὐ
gain bearable as-long-as indeed for within we-remain not
σφόδρα κατατεινόμεθα τῷ κρυμῷ· ἐὰν δὲ ἀναγκασθῶμεν
very we-are-strained by-the frost if but we-are-compelled
μικρὸν προελθεῖν, καὶ τῷ ἔξω ὁμιλῆσαι ἀέρι, οὐ μικρὰν
(a)-little to-go-forth and with-the outside to-consort air not small
προστριβόμεθα βλάβην. Διὸ καὶ τὴν τιμιότητά σου
we-incur harm therefore also the honor your
παρακαλῶ, καὶ ἐν μεγίστης αἰτῶ χάριτος μέρει, πολλὴν
I-entreat and in of-greatest I-ask favor part great
ποιεῖσθαι ἐπιμέλειαν, ὥστε τὴν τοῦ σώματός σου διορθοῦν
to-make care so-as the of-the body your to-set-right
ἀσθένειαν. Ποιεῖ μὲν γὰρ νόσον καὶ ἀθυμία· ὅταν δὲ καὶ
weakness makes indeed for disease also despondency when but also
σῶμα πεπονηκὸς ᾖ καὶ ἐξησθενημένον, καὶ ἐν ἀμελείᾳ
(the)-body worn-out be and enfeebled and in neglect
διακέηται πολλῇ, καὶ μήτε ἰατρῶν ἀπολαύῃ, μήτε ἀέρων
lies much and neither physicians enjoys nor of-airs
εὐκρασίας, μήτε τῆς τῶν ἐπιτηδείων ἀφθονίας, ἐννόησον,
mildness nor the of-the necessaries abundance consider
ὅτι οὐ μικρὰ ἐντεῦθεν προσθήκη γίνεται τοῦ δεινοῦ. Διὸ
that not small from-here (an)-addition comes of-the evil therefore
παρακαλῶ σου τὴν τιμιότητα, καὶ ἰατροῖς διαφόροις καὶ
I-entreat your the honor both physicians different and
ἐμπείροις καὶ φαρμάκοις χρῆσθαι, τοῖς τὰ τοιαῦτα διορθοῦν
experienced and medicines to-use those the such(-things) to-set-right
δυναμένοις. Ἐπεὶ καὶ ἡμεῖς πρὸ τούτων τῶν ὀλίγων ἡμερῶν,
able since also we before these the few days
εὐεμπτώτως ἡμῖν ἔχοντος τοῦ στομάχου πρὸς τοὺς ἐμέτους,
easily-upset for-us being the stomach toward the vomitings
ἐκ τῆς τοῦ ἀέρος καταστάσεως, τῇ τε ἄλλῃ ἐπιμελείᾳ
from the of-the air condition the both other care

χρησάμενοι, καὶ τῷ φαρμάκῳ τῷ ἀπεσταλμένῳ παρὰ τῆς
having-used and the medicine the sent by the
κυρίας μου τῆς κοσμιωτάτης Συγκλητίου, καὶ οὐ δεηθέντες
lady my the most-orderly Syncletia and not needing
πλέον ἢ τριῶν ἡμερῶν· αὐτὸ ἐπιθεῖναι, διωρθώσαμεν αὐτοῦ
more than three days it to-apply we-set-right its
τὴν ἀσθένειαν. Παρακαλῶ τοίνυν καὶ αὐτὴν σὲ χρήσασθαι
the weakness I-entreat therefore also yourself you to-use
τούτῳ, καὶ παρασκευάσαι πάλιν ἡμῖν ἐξ αὐτοῦ πεμφθῆναι.
this and to-arrange again to-us from it to-be-sent
Καὶ γὰρ καὶ πάλιν αἰσθανόμενοί τινος ἀνατροπῆς, πάλιν
and for also again perceiving some upset again
αὐτῷ ἐχρησάμεθα, καὶ τὸ πᾶν διωρθώσαμεν. Καὶ γὰρ
it we-used and the whole set-right and for
φλεγμονὰς καταστέλλει τὰς ἐν τῷ βάθει, νοτίδα
inflammations it-calms the(-ones) in the depth moisture
ἀνιμᾶται, καὶ συμμέτρως ἐστὶ θερμὸν, καὶ τόνον ἐντίθησιν
it-draws-up and in-measure is warm and tone it-puts-in
οὐ τὸν τυχόντα, καὶ ὄρεξιν διεγείρει τὴν πρὸς τὰ σιτία, καὶ
not the ordinary and appetite it-rouses the for the food and
τούτων ἁπάντων ἡμῖν ἐν ὀλίγαις ἡμέραις πεῖραν παρέσχεν.
of-these all to-us in few days proof it-gave
Ποίησον τοίνυν παρακληθῆναι τὸν δεσπότην μου τὸν
cause therefore to-be-entreated the master my the
αἰδεσιμώτατον Θεόφιλον τὸν κόμητα, ὥστε πάλιν ἐξ αὐτοῦ
most-revered Theophilus the count so-as again from it
κατασκευάσαι ἡμῖν καὶ ἀποστεῖλαι. Καὶ μή σε λυπείτω
to-prepare for-us and to-send(-it) and not you let-grieve
τὸ ἐνταῦθα ἡμᾶς χειμάζειν· καὶ γὰρ πολλῷ ῥᾷον καὶ
the here us to-winter and for far more-easily and
ὑγιεινότερον νῦν ἢ πέρυσι διακείμεθα· ὥστε εἰ καὶ αὐτὴ
more-healthily now than last-year we-are-disposed so-that if also you-yourself

τὴν προσήκουσαν ἐπιμέλειαν ἐποιοῦ, πολλῷ ἂν ἄμεινον
the fitting care were-making far — better
διετέθης. Εἰ δὲ ἐξ ἀθυμίας φῇς τετέχθαι σοι τὰ
you-would-be-disposed if but from despondency you-say to-have-been-born for-you the
νοσήματα, πῶς πάλιν ἐπιστολὰς ζητεῖς παρ' ἡμῶν, μηδὲν
diseases how again letters do-you-seek from us nothing
ἐντεῦθεν εἰς εὐθυμίαν καρπωσαμένη, ἀλλ' οὕτω τῇ
from-here toward good-cheer having-reaped but so by-the
τυραννίδι τῆς ἀθυμίας βαπτισθεῖσα, ὡς καὶ ἐπιθυμεῖν νῦν
tyranny of-the despondency drowned so-as even to-desire now
τῆς ἐντεῦθεν ἀποδημίας; Οὐκ οἶσθα ὅσος καὶ ἀῤῥωστίας
of-the from-here departure not do-you-know how-great also for-sickness
κεῖται μισθὸς ἐν εὐχαρίστῳ ψυχῇ; Οὐ πολλάκις σοι καὶ
lies (the)-reward in (a)-thankful soul not often to-you both
παρὼν καὶ δι' ἐπιστολῶν ταύτης ἕνεκα διείλεγμαι
present and through letters this for-the-sake-of have-I-discoursed
τῆς ὑποθέσεως; Ἀλλ' ἐπειδὴ ἴσως ἢ ὁ τῶν πραγμάτων
the subject but since perhaps either the of-the affairs
ὄχλος, ἢ αὐτὴ τῆς ἀῤῥωστίας ἡ φύσις, καὶ αἱ ἐπάλληλοι
crowd or very of-the sickness the nature and the one-on-another
περιστάσεις οὐκ ἐῶσί σε διηνεκῶς ἔναυλον ἔχειν τῶν
circumstances not let you continually ringing-in-the-ears to-have of-the(-things)
εἰρημένων τὴν μνήμην, ἄκουε πάλιν τὰ αὐτὰ ἐπᾳδόντων
said the memory hear again the same-things chanting
ἡμῶν τοῖς ἕλκεσί σου τῆς ἀθυμίας· Τὰ γὰρ αὐτὰ
us to-the wounds your of-the despondency the for same-things
γράφειν, φησὶν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές.
to-write he-says for-me indeed (is)-not irksome for-you but safe
Τί οὖν καὶ λέγω καὶ γράφω; Οὐδὲν, Ὀλυμπιὰς, τῆς ἐν 2
what then also do-I-say and write nothing Olympias than-the in
ἀλγηδόσιν ὑπομονῆς εἰς εὐδοκιμήσεως λόγον ἴσον. Ἡ
pains endurance for of-renown (the)-reckoning (is)-equal the

γὰρ βασιλὶς τῶν ἀγαθῶν, καὶ τῶν στεφάνων ἡ κορωνὶς
for queen of-the goods and of-the crowns the crowning-touch
αὕτη μάλιστά ἐστι· καὶ καθάπερ αὕτη τῶν ἄλλων κρατεῖ
this most is and as this the other masters
κατορθωμάτων, οὕτως ἐν αὐτῇ τοῦτο μάλιστα τὸ εἶδος τῶν
achievements so in it this most the form than-the
ἄλλων ἐστὶ λαμπρότερον. Τάχα ἀσαφὲς τὸ εἰρημένον·
others is more-splendid perhaps unclear (is)-the(-thing) said
οὐκοῦν αὐτὸ ποιήσω σαφέστερον. Τί οὖν ἐστιν ὅ φημι; Οὐ
then it I-will-make clearer what then is what I-say not
τὸ χρήματα ἀφαιρεθῆναι, κἂν πάντων τις γυμνωθῇ τῶν
the money to-be-taken-away even-if of-all someone be-stripped of-the
ὄντων, οὐ τὸ τιμῆς ἐκπεσεῖν, οὐ τὸ πατρίδος ἐκβληθῆναι,
possessions not the from-honor to-fall not the from-fatherland to-be-cast-out
καὶ πρὸς τὴν ὑπερορίαν ἀπενεχθῆναι, οὐ τὸ πόνῳ καὶ
and to the exile to-be-carried-off not the by-toil and
ἱδρῶτι κατατείνεσθαι, οὐ τὸ δεσμωτήριον οἰκεῖν, καὶ ἅλυσιν
sweat to-be-strained not the prison to-inhabit and (a)-chain
περικεῖσθαι, οὐκ ὀνειδισμοὶ, καὶ λοιδορίαι καὶ σκώμματα·
to-wear not reproaches and abuses and jeers
μὴ γὰρ μηδὲ τοῦτο μικρὸν νομίσῃς εἶναι καρτερίας εἶδος,
do-not for even this small think to-be of-endurance (a)-form
τὸ γενναίως τὰ τοιαῦτα ἐνεγκεῖν, καὶ δείκνυσιν Ἱερεμίας
the nobly the such(-things) to-bear and shows(-it) Jeremiah
ὁ τοσαῦτος καὶ τηλικοῦτος ἀνὴρ, οὐχ ὡς ἔτυχεν ὑπὸ
the so-great and so-mighty man not as it-happened by
τούτου θορυβηθεὶς τοῦ πειρασμοῦ· ἀλλ' οὐδὲ τοῦτο, οὐ
this alarmed the trial but not-even this not
παίδων ἀποβολὴ, κἂν ἀθρόον πάντες ἀναρπασθῶσιν, οὐκ
of-children (the)-loss even-if all-at-once all be-snatched-away not
ἐχθροὶ συνεχῶς ἐπεμβαίνοντες, οὐκ ἄλλο τῶν τοιούτων
enemies continually trampling not other of-the such(-things)

οὐδὲν, οὐκ αὐτὸς ὁ κολοφὼν τῶν δοκούντων εἶναι
none not very the crown of-the(-things) seeming to-be
λυπηρῶν, ὁ θάνατος, ὁ φοβερὸς οὕτω καὶ φρικώδης,
painful the death the fearful so and dreadful
οὕτως ἐστὶ βαρὺς, ὡς σώματος ἀῤῥωστία. Καὶ ταῦτα
so is heavy as of-(the)-body sickness and these-things
δείκνυσιν ὁ μέγιστος τῆς ὑπομονῆς ἀθλητὴς, ὃς ἐπειδὴ
shows the greatest of-the endurance athlete who when
σωματικῇ περιέπεσε νόσῳ, ἀπαλλαγὴν τῶν κατεχόντων
into-bodily he-fell disease (a)-release from-the besetting
δεινῶν τὴν τελευτὴν εἶναι ἐνόμιζε· καὶ ὅτε μὲν τὰ ἄλλα
terrors the death to-be he-thought and when indeed the other(-things)
ἔπασχεν ἅπαντα, οὐδὲ ἠσθάνετο, καίτοι ἐπαλλήλους
he-suffered all not-even did-he-feel(-them) although one-on-another
δεχόμενος τὰς πληγὰς, καὶ τελευταίαν τὴν καιρίαν. Οὐδὲ
receiving the blows and last the mortal(-one) nor
γὰρ τοῦτο μικρὸν, ἀλλὰ καὶ τῆς χαλεπωτάτης τοῦ
for (was)-this small but even of-the most-grievous of-the(-one)
πολεμοῦντος αὐτῷ κακουργίας, τὸ μὴ νεάζοντι, μηδὲ
warring against-him villainy the not on-(one)-being-fresh nor
νῦν εἰς τοὺς ἀγῶνας καθιέντι πρῶτον, ἀλλ' ἤδη τῇ
now into the contests letting-himself-down first but already by-the
πυκνότητι τῶν ἐπαλλήλων βελῶν κατειργασμένῳ, τότε
frequency of-the one-on-another arrows worn-down then
τὴν καιρίαν δοῦναι τὴν ἐπὶ τοῖς παισὶ πληγὴν, καὶ ταύτην
the mortal to-give the over the children blow and this
οὕτω χαλεπῶς, ὡς καὶ ἐξ ἑκατέρας τῆς φύσεως, καὶ
so grievously as both from each the sex and
πάντας ἀθρόον, καὶ ἐν ἀώρῳ ἡλικίᾳ, καὶ βιαίᾳ τελευτῇ
all all-at-once and at (an)-untimely age and by-violent death
διαφθεῖραι, καὶ τοῦ θανάτου τὸν τρόπον ἐσχεδιασμένον
to-destroy(-them) and of-the death the manner improvised

αὐτοῖς ἐργάσασθαι τάφον. Οὐδὲ γὰρ εἶδεν ἐν κλίνῃ
for-them to-make (a)-tomb nor for did-he-see(-them) on (a)-bed
κειμένους, οὐδὲ ἐφίλησε χεῖρας, οὐδὲ ἐσχάτων ἤκουσε
lying nor did-he-kiss (their)-hands nor last did-he-hear
ῥημάτων, οὐδὲ ποδῶν ἥψατο καὶ γονάτων, οὐ στόμα
words nor feet did-he-touch and knees not mouth
συνεῖλεν, οὐ καθεῖλεν ὀφθαλμοὺς μελλόντων αὐτῶν
he-closed not he-closed-down eyes being-about they
τελευτᾷν, ἅπερ οὐ μικρὰ εἰς παραμυθίαν τοῖς παίδων
to-die which not small (are)-for comfort to-the from-children
χωριζομένοις πατράσιν· οὐδὲ τοὺς μὲν προέπεμψεν ἐπὶ
separated fathers nor some indeed did-he-escort to
τὸν τάφον, τοὺς δὲ ἐπανελθὼν εὗρε παραμυθίαν τῶν
the tomb others and returning find (as)-comfort for-those
ἀπελθόντων· ἀλλ' ἐν καιρῷ συμποσίου, συμποσίου οὐ
departed but at (the)-time of-(a)-banquet (a)-banquet not
μέθην, ἀλλ' ἀγάπην βρύοντος, ἐν τραπέζῃ φιλαδελφίας,
with-drunkenness but with-love teeming at (the)-table of-brotherly-love
ἐπὶ στιβάδος κειμένους ἤκουσε πάντας κατακεχῶσθαι, καὶ
on (a)-couch lying he-heard all to-have-been-buried and
πάντα ὁμοῦ μιγῆναι, τὸ αἷμα, τὸν οἶνον, τὰς κύλικας, τὸν
all-things together to-have-mixed the blood the wine the cups the
ὄροφον, τὴν τράπεζαν, τὴν κόνιν, τὰ μέλη τῶν παίδων.
roof the table the dust the limbs of-the children
Ἀλλ' ὅμως ἡνίκα μὲν ταῦτα ἤκουσε, καὶ πρὸ τούτων
but nevertheless when indeed these-things he-heard and before these
τὰ ἄλλα, καὶ αὐτὰ χαλεπά· καὶ γὰρ κἀκεῖνα χαλεπῶς
the other(-things) also themselves grievous and for and-those grievously
ἀπολώλει· τά τε ποίμνια, καὶ ὁλοκλήρους ἀγέλας, τὰς
had-perished the both flocks and whole herds the(-ones)
μὲν ὑπὸ πυρὸς ἄνωθεν κατενεχθέντος ἀνηλῶσθαι ἔλεγεν
indeed by fire from-above brought-down to-have-been-consumed said

ὁ πονηρὸς τῆς τραγῳδίας ταύτης ἄγγελος, τὰς δὲ ὑπὸ
the evil of-the tragedy this messenger the(-others) and by
πολεμίων διαφόρων ἀθρόον πάσας ἀναρπαγῆναι, καὶ
enemies different all-at-once all to-have-been-snatched-away and
κατακοπῆναι σὺν αὐτοῖς τοῖς ποιμέσιν· ἀλλ' ὅμως τοσαύτην
cut-down with very the shepherds but nevertheless so-great
ζάλην ἐν βραχείᾳ καιροῦ ῥοπῇ διεγερθεῖσαν ὁρῶν ἐπὶ τῶν
(a)-surge in (a)-brief of-time moment roused seeing on the
ἀγρῶν, ἐπὶ τῆς οἰκίας, ἐπὶ τῶν θρεμμάτων, ἐπὶ τῶν παίδων,
fields on the house on the flocks on the children
ἐπάλληλα τὰ κύματα, καὶ τὰς σπιλάδας συνεχεῖς, καὶ τὸν
one-on-another the waves and the reefs continual and the
ζόφον βαθὺν, καὶ τὸ κλυδώνιον ἀφόρητον, οὔτε ἀθυμίᾳ
gloom deep and the billow unbearable neither by-despondency
κατετείνετο, οὔτε ᾐσθάνετο σχεδὸν τῶν γεγενημένων, πλὴν
was-he-strained nor did-he-feel almost the events except
τοσοῦτον ὅσον ἄνθρωπος ἦν καὶ πατήρ. Ἐπειδὴ δὲ νόσῳ
so-much as (a)-man he-was and (a)-father when but to-disease
παρεδόθη καὶ ἕλκεσι, τότε καὶ θάνατον ἐπεζήτει, τότε καὶ
he-was-handed-over and to-sores then also death he-sought then also
ἀπωδύρετο, καὶ ἐθρήνει, ἵνα μάθῃς πῶς τοῦτο πάντων
he-bewailed and lamented that you-may-learn how this than-all
ἐστὶ χαλεπώτερον, καὶ τῆς ὑπομονῆς τὸ ἄκρον εἶδος.
is more-grievous and of-the endurance the highest form
Καὶ τοῦτο οὐδὲ αὐτὸς ὁ πονηρὸς ἀγνοεῖ δαίμων· ἀλλ'
and this not-even very the evil is-ignorant-of demon but
ἐπειδὴ πάντα ἐκεῖνα κινήσας, ἑώρα τὸν ἀθλητὴν ἀτάραχον
since all those having-moved he-saw the athlete untroubled
μένοντα καὶ ἀθόρυβον, ὡς ἐπὶ μέγιστον ἆθλον τοῦτον
remaining and unalarmed as to (a)-very-great contest this
ὥρμησε, λέγων, ὅτι τὰ μὲν ἄλλα πάντα φορητὰ,
he-rushed saying that the indeed other(-things) all (are)-bearable

κἂν παιδά τις ἀποβάλῃ, κἂν κτήματα, κἂν ἀλλοτιοῦν
even-if (a)-child someone lose even-if possessions even-if anything-else
(τοῦτο γάρ ἐστι, Δέρμα ὑπὲρ δέρματος), ἡ δὲ καιρία
this for is skin for skin the but mortal
πληγὴ, ὅταν ἐν σώματί τις δέξηται τὰς ὀδύνας. Διά
blow (is)-when in (the)-body someone receive the pains for
τοι τοῦτο μετὰ τὸν ἆθλον τοῦτον ἡττηθεὶς, οὐδὲ γρῦξαι
surely this(-reason) after the contest this defeated not-even to-grunt
ἔσχεν, εἰ καὶ τὰ μάλιστα καὶ τὰ πρότερα ἀναισχύντως
was-be-able if even the most even the former(-things) shamelessly
ἀντέλεγεν. Ἐνταῦθα μέντοι οὐδὲ ἀναίσχυντον πλάσαι
he-gainsaid here however not-even shameless to-fabricate
τι λοιπὸν εὗρεν, ἀλλ' ἐγκαλυψάμενος ἀνεχώρησεν.
anything further he-found but having-covered(-himself) he-withdrew

3 Ἀλλὰ μὴ νόμιζέ σοι τοῦτο ἀπολογίαν εἶναι εἰς τὸ καὶ
but do-not think for-you this (an)-excuse to-be for the also
αὐτῆς ἐπιθυμεῖν τελευτῆς, εἰ ἐκεῖνος ἐπεθύμει θανάτου, τὰς
very to-desire death if that(-one) desired death the
ὀδύνας οὐ φέρων. Ἐννόησον γὰρ πότε ἐκεῖνος ἐπεθύμει, καὶ
pains not bearing consider for when that(-one) desired and
πῶς τῶν πραγμάτων διακειμένων, οὐ νόμου δοθέντος, οὐ
how the affairs being-disposed not law having-been-given not
προφητῶν φανέντων, οὐ τῆς χάριτος οὕτως ἐκχυθείσης,
prophets having-appeared not the grace so having-been-poured-out
οὐδὲ ἄλλης φιλοσοφίας μετασχών. Ὅτι γὰρ ἡμεῖς τῶν
nor of-other philosophy having-partaken that for we than-those
τότε πολιτευομένων πλείονα ἀπαιτούμεθα, καὶ μείζονα ἡμῖν
then living more are-asked and greater for-us
κεῖται τὰ σκάμματα, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Ἐὰν μὴ
lie the arenas hear — Christ saying if not
περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ
abound the righteousness your more than-the scribes and

Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
Pharisees not — you-will-enter into the kingdom of-the heavens
Μὴ τοίνυν τὸ εὔχεσθαι νῦν τὴν τελευτὴν, ἀπηλλάχθαι
do-not therefore the to-pray now (for)-the death to-be-free
ἐγκλήματος νόμιζε, ἀλλ' ἄκουε τῆς τοῦ Παύλου φωνῆς
from-blame think but hear the — of-Paul voice
τῆς λεγούσης· Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ
the(-one) saying the to-depart and with Christ to-be (is)-far
μᾶλλον κρεῖσσον, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον
more better the but to-remain in-the flesh (is)-more-necessary
δι' ὑμᾶς. Ὅσῳ γὰρ ἂν ἐπιτείνηται τὰ τῆς θλίψεως,
for you by-as-much for — are-intensified the(-things) of-the affliction
τοσούτῳ πλεονάζει καὶ τὰ τῶν στεφάνων· ὅσῳ ἂν
by-so-much abound also the(-things) of-the crowns by-as-much —
πυρωθῇ τὸ χρυσίον, τοσούτῳ καθαρότερον γίνεται· ὅσῳ
is-fired the gold by-so-much purer it-becomes by-as-much
μακρότερον ἂν πλεύσῃ πέλαγος ἔμπορος, τοσούτῳ πλείονα
longer — sails (the)-sea (a)-merchant by-so-much more
συνάγει τὰ φορτία. Μὴ τοίνυν νομίσῃς μικρόν σοι
he-gathers the cargoes do-not therefore think small for-you
προκεῖσθαι νῦν ἆθλον, ἀλλὰ πάντων ὧν ὑπομεμένηκας
to-be-set-before(-you) now (the)-contest but than-all which you-have-endured
τὸν ὑψηλότερον, τὸν ἐπὶ τῇ τοῦ σώματος ἀῤῥωστίᾳ λέγω.
the loftier the on the of-the body sickness I-mean
Καὶ γὰρ καὶ τῷ Λαζάρῳ (εἰ γὰρ καὶ πολλάκις τοῦτο
and for also — for-Lazarus if for even often this
εἴρηκα πρὸς σὲ, οὐδὲν κωλύει καὶ νῦν εἰπεῖν) ἤρκεσε τοῦτο
I-have-said to you nothing hinders also now to-say sufficed this
εἰς σωτηρίαν· καὶ τοῦ κοινὴν τὴν οἰκίαν τοῖς παριοῦσι
for salvation and of-the(-one) common the house to-those passing-by
κεκτημένου, καὶ μετανάστου συνεχῶς γινομένου διὰ τὸ
possessing and (an)-exile continually becoming because-of the

τοῦ Θεοῦ πρόσταγμα, καὶ τὸν υἱὸν κατασφάξαντος τὸν
— of-God command and the son having-slaughtered the
γνήσιον, τὸν μονογενῆ, τὸν ἐν ἐσχάτῳ γήρᾳ δοθέντα,
legitimate the only-begotten the in utmost old-age given
ὁ μηδὲν τούτων πεποιηκὼς εἰς τοὺς κόλπους ἀπῄει,
he(-who) none of-these having-done into the bosoms went
ἐπειδὴ ἤνεγκεν εὐκόλως πενίαν, καὶ ἀῤῥωστίαν καὶ τὴν
since he-bore easily poverty and sickness and the
τῶν προστησομένων ἐρημίαν. Τοσοῦτον γάρ ἐστιν ἀγαθὸν
of-those going-to-protect(-him) desolation so-great for is (a)-good
τοῦτο τοῖς γενναίως φέρουσί τι, ὅτι κἂν τὰ μέγιστα
this for-those nobly bearing anything that even-if the greatest(-things)
ἡμαρτηκότα τινὰ εὕρῃ, ἀπαλλάττει τοῦ βαρυτάτου τῶν
having-sinned someone it-find it-frees(-him) from-the heaviest of-the
ἁμαρτιῶν φορτίου· κἂν κατωρθωκότα καὶ δίκαιον ὄντα,
sins burden even-if having-achieved and righteous being
οὐ μικρᾶς, ἀλλὰ καὶ σφόδρα μεγίστης παῤῥησίας γίνεται
στομάχου. Λόγισαι τὰ ἐντεῦθεν, οὐκ ἰατρῶν ὄντων, οὐ
stomach reckon the(-things) from-here not physicians being not
βαλανείων, οὐκ ἐπιτηδείων, οὐ τῆς ἄλλης ἀνέσεως, Ἰσαυρικοῦ
baths not necessaries not of-the other ease Isaurian

φόβου πανταχόθεν ἡμᾶς πολιορκοῦντος, τῶν ἄλλων κακῶν,
fear from-every-side us besieging the other evils
ἅπερ ἡ δυσκολία τῶν ὁδῶν τίκτειν εἴωθε, φροντίδος,
which the difficulty of-the roads to-bear is-wont care
μερίμνης, ἀθυμίας, ἐρημίας τῶν θεραπευσόντων. Ἀλλὰ
anxiety despondency desolation of-those going-to-tend(-us) but
νῦν ἅπαντα ταῦτα λέλυται. Εἰς γὰρ τὴν Κουκουσὸν
now all these-things have-been-dissolved to for — Cucusus
ἐλθόντες, τήν τε ἀῤῥωστίαν ἅπασαν ἀπεθέμεθα μετὰ τῶν
having-come the both sickness all we-put-off with the
λειψάνων, καὶ ἐσμὲν ἐν ὑγιείᾳ καθαρωτάτῃ, τοῦ τε φόβου
remnants and we-are in health purest from-the both fear
τῶν Ἰσαύρων ἀπηλλάγημεν, πολλῶν ἐνταῦθα στρατιωτῶν
of-the Isaurians we-were-freed many here soldiers
ὄντων, καὶ σφόδρα πρὸς αὐτοὺς παρατεταγμένων· τῶν
being and very against them drawn-up the
τε ἐπιτηδείων ἡ ἀφθονία πάντοθεν ἡμῖν ἐπιῤῥεῖ, πάντων
and of-necessaries the abundance from-all-sides on-us flows all
μετὰ πάσης εὐνοίας ἡμᾶς ἀποδεχομένων, καίτοι σφόδρα
with all goodwill us receiving although very
ἐρημοτάτου ὄντος τοῦ χωρίου. Ἀλλ' ἔτυχεν ὁ δεσπότης
most-desolate being the place but it-happened-that the master
μου Διόσκορος ἐνταῦθα ὢν, ὃς καὶ εἰς Καισάρειαν
my Dioscorus here being who also to Caesarea
ἀπέστειλεν οἰκέτην εἰς αὐτὸ τοῦτο, παρακαλῶν καὶ δεόμενος
sent (a)-servant for very this beseeching and begging
μὴ προτιμῆσαι τῆς αὐτοῦ οἰκίας ἑτέραν, καὶ ἕτεροι δὲ
not to-prefer to-the his house another and others too
πλείους. Ἀλλ' ἀναγκαῖον ἐνόμισα τῶν ἄλλων τοῦτον
more but necessary I-thought than-the others this(-one)
προτιμῆσαι, καὶ κατήχθημεν ἐν τοῖς αὐτοῦ. Καὶ πάντα
to-prefer and we-lodged in the(-house) his and all-things

ἡμῖν αὐτὸς γίνεται, ὡς καὶ καταβοᾷν αὐτοῦ συνεχῶς,
to-us he becomes so-that even to-cry-out-against him continually
διὰ τὴν πολλὴν αὐτοῦ δαψίλειαν, καὶ τὴν ἀφθονίαν,
because-of the great his lavishness and the abundance
ἣν βούλεται παρέχειν. Δι' ἡμᾶς γοῦν καὶ μετέστη χωρίον
which he-wishes to-furnish for us at-least also he-moved (the)-place
οἰκῶν, ὥστε παντὶ θεραπεῦσαι τρόπῳ, τήν τε οἰκίαν ἡμῖν
living-in so-as in-every to-tend(-us) way the both house for-us
κατασκευάζει πρὸς χειμῶνα ἐπιτηδείαν, πάντα ποιῶν ὑπὲρ
he-prepares for winter suitable all-things doing for
τούτου καὶ πραγματευόμενος· καὶ ὅλως οὐδὲν ἐλλέλειπται
this and working and altogether nothing has-been-left-wanting
θεραπείας ἕνεκεν. Καὶ ἕτεροι δὲ πολλοὶ ἐπίτροποι καὶ
of-care for-the-sake and others too many stewards and
οἰκονόμοι, παρὰ τῶν δεσποτῶν τῶν ἑαυτῶν κελευσθέντες
managers by the masters the their-own commanded
διὰ γραμμάτων, συνεχῶς παραγίνονται, ἕτοιμοι κατὰ
by letters continually arrive ready in
πάντα τρόπον ἡμᾶς ἀναπαῦσαι. Ταῦτα δὲ πάντα εἴρηκα,
every way us to-refresh these-things and all I-have-said
καὶ τὰ μὲν ἀπωδυράμην, τὰ πρότερα, τὰ δὲ εἶπον, τὰ
and some indeed I-bewailed the earlier(-things) others and I-told the
χρηστὰ, ἵνα μὴ προπετῶς τις ἡμᾶς ἐντεῦθεν ἐγείρῃ.
good(-things) that not rashly anyone us from-here should-rouse
Εἰ μὲν γὰρ οἱ βουλόμενοι δοῦναι ἡμῖν τὴν χάριν,
if indeed for those wishing to-give us the favor
κυρίους ἡμᾶς ποιοῖεν τοῦ εἶναι ὅπου βουλόμεθα, καὶ μὴ
masters us should-make of-the to-be where we-wish and not
πάλιν ἕτερον ἡμῖν μέλλοιεν ἀποκληροῦν τόπον, ὃν
again another for-us should-be-about to-allot place whatever
ἂν ἐθέλωσι, κατάδεξαι τὴν χάριν. Εἰ δὲ ἔνθεν ἡμᾶς
— they-wish accept the favor if but from-here us

ἀνιστάντες, εἰς ἕτερον μέλλοιεν πέμπειν τόπον, καὶ
raising-up to another they-should-be-about to-send place and
πάλιν ὁδὸς, καὶ πάλιν ἀποδημία, ἐμοὶ σφόδρα τοῦτο
again (a)-road and again (a)-journey to-me very this
χαλεπώτερον· πρῶτον μὲν, μήποτε εἰς μακρότερον ἢ
(is)-more-grievous first indeed lest to (a)-farther or
εἰς χαλεπώτερον ἡμᾶς πέμψωσι χωρίον· ἔπειτα δὲ, ὅτι
to (a)-more-grievous us they-send place then and that
μυρίων ἐξοριῶν ἐμοὶ τὸ ὁδεύειν χαλεπώτερον. Καὶ γὰρ εἰς
than-countless exiles to-me the traveling (is)-more-grievous and for to
αὐτὰς ἡμᾶς κατήνεγκε τοῦ θανάτου τὰς πύλας ταύτης τῆς
very us brought-down of-the death the gates of-this the
ἀποδημίας ἡ δυσκολία. Καὶ διατρίβομεν νῦν ἐν Κουκουσῷ,
journey the difficulty and we-stay now in Cucusus
τῇ διηνεκεῖ καθέδρᾳ καὶ ἡσυχίᾳ ἀνακτώμενοι ἑαυτοὺς, καὶ
by-the continual sitting and quiet restoring ourselves and
τὴν ἐν τῷ μακρῷ χρόνῳ γενομένην ἡμῖν ταλαιπωρίαν, καὶ
the in the long time having-come on-us misery and
τὰ συντετριμμένα ἡμῶν ὀστᾶ, καὶ τὴν ταλαιπωρηθεῖσαν
the crushed our bones and the miserable
σάρκα διὰ τῆς ἡσυχίας θεραπεύοντες. Ἀπήντησε δὲ καὶ
flesh through the quiet healing met(-us) and also
ἡ κυρία μου Σαβινιανὴ ἡ διάκονος κατὰ τὴν ἡμέραν τὴν
the lady my Sabiniana the deaconess on the day the
αὐτὴν, καθ' ἣν καὶ ἡμεῖς ἀπηντήσαμεν, συντετριμμένη
same on which also we arrived crushed
μὲν καὶ τεταλαιπωρημένη, ἅτε ἐν τούτῳ τῆς ἡλικίας οὖσα,
indeed and worn-out as at this of-the age being
ἔνθα καὶ κινεῖσθαι δύσκολον· ὅμως δὲ τῇ προθυμίᾳ
where even to-move (is)-hard nevertheless but in-the eagerness
νεάζουσα, καὶ μηδενὸς αἰσθανομένη τῶν λυπηρῶν. Ἑτοίμη
being-young and nothing perceiving of-the painful(-things) ready

γὰρ ἔφησεν εἶναι καὶ εἰς Σκυθίαν ἀπαντήσεσθαι, ἐπειδὴ
for she-said to-be even to Scythia to-come since
τοιοῦτος ἐκράτει λόγος, ὡς ἐκεῖ ἡμῶν ἀπαχθησομένων.
such prevailed (a)-report as there us going-to-be-led-off
Ἑτοίμη δέ ἐστιν, ὥς φησι, μηκέτι ὑποστρέφειν μηδαμοῦ,
ready and she-is as she-says no-longer to-return anywhere
ἀλλ' ἐκεῖ διατρίβειν ἔνθα ἂν ὦμεν. Σφόδρα δὲ καὶ αὐτὴν
but there to-stay where — we-be very and also her
ὑπεδέξαντο οἱ τῆς Ἐκκλησίας μετὰ πολλῆς τῆς σπουδῆς
received those of-the Church with much the zeal
καὶ τῆς εὐνοίας. Καὶ ὁ κύριος δέ μου Κωνστάντιος, ὁ
and the goodwill and the lord and my Constantius the
εὐλαβέστατος πρεσβύτερος, πάλαι ἂν ἐνταῦθα ἦν.
most-devout presbyter long-ago — here would-have-been
Καὶ γὰρ καὶ ἐπέστειλέν μοι, παρακαλῶν ἵνα ἐπιτρέψω
and for also he-wrote to-me beseeching that I-should-permit
αὐτῷ ἐνταῦθα ἐλθεῖν· τῆς γὰρ ἐμῆς γνώμης χωρὶς
him here to-come of-the for my mind without
μηδ' ἂν τολμῆσαι παραγενέσθαι, καίτοι γε σφόδρα
not-even — to-dare to-come although at-least greatly
ἐπιθυμῶν καὶ, ὥς φησιν, οὐδὲ αὐτόθι μένειν δυνάμενος·
desiring and as he-says not-even there to-remain being-able
κρύπτεται γὰρ, καὶ λανθάνει· τοσαῦτα αὐτὸν συνέχει
he-hides for and escapes-notice so-many him beset
κακὰ, καθώς φησι. Παρακαλῶ τοίνυν μὴ ἄλλως ποιήσῃς
evils as he-says I-beseech(-you) therefore do-not otherwise do
τοῦ τόπου ἕνεκεν. Εἰ δ' αὖ πάλιν δοκιμάσειας
for-the place for-the-sake if and on-the-other-hand again you-should-see-fit
ἀποπειρασθῆναι τῆς γνώμης αὐτῶν, αὐτὴν μὲν οἴκοθεν
to-make-trial of-the mind their you-yourself indeed of-yourself
μηδὲν εἴπῃς, δοκίμασον δὲ οὗ προῄρηνται, κατὰ
nothing say test but where they-have-chosen according-to

τὴν σύνεσίν σου· δύνασαι γάρ. Κἂν ἴδῃς ὅτι πλησίον
the understanding your you-can for and-if you-see that near
αὐτόθι που ἐν παραθαλασσίῳ πόλει, ἢ ἐν Κυζίκῳ, ἢ
there somewhere in (a)-seaside city or in Cyzicus or
Νικομηδείας πλησίον, καὶ τοῦτο κατάδεξαι. Εἰ δ' ἄρα
of-Nicomedia near also this accept if but then
μακρότερόν που, ἢ τοῦ τόπου τούτου μακρότερον, ἢ
farther somewhere or than-the place this farther or
τοσοῦτον ὅσον οὗτος, μὴ ἕλῃ· ἐπεὶ σφόδρα τοῦτό μοι
so-far as this(-one) do-not choose(-it) since very this to-me
βαρὺ καὶ χαλεπώτερον. Τέως γὰρ πολλῆς ἐνταῦθα
(is)-heavy and more-grievous for-the-while for much here
ἀνέσεως ἀπολαύομεν, ὡς καὶ ἐν δύο ἡμέραις ἅπασαν τὴν
ease we-enjoy so-that even in two days all the
ἀηδίαν ἀπονίψασθαι τὴν ἐκ τῆς ὁδοῦ γεγενημένην ἡμῖν.
disgust to-wash-off the from the road having-come on-us

THE FOURTEENTH LETTER: WHAT HAPPENED AT CAESAREA

Olympias grieves that he could not be moved from Cucusus; he rebukes her. In confidence he tells of Caesarea: he arrived half dead with fever, the bishop Pharetrius kept away, and monks threatened to burn his lodging unless he left. Seleucia took him in at her villa until Pharetrius's threats drove her to send him off at midnight with a false report of barbarians; on the dark mountain road his mule fell. He asks her to tend Maruthas, to have the Goths' new bishop put off, and to see his letter reach Hilarius.

1 Τί θρηνεῖς; τί κόπτεις σαυτὴν, καὶ δίκας ἀπαιτεῖς, ἃς
why do-you-lament why do-you-beat yourself and penalties do-you-exact which
οὔτε οἱ ἐχθροί σου ἀπαιτῆσαί σε ἴσχυσαν, οὕτως τῇ
neither the enemies your to-exact from-you were-able so to-the

τυραννίδι τῆς ἀθυμίας ἐκδοῦσά σου τὴν ψυχήν; Τὰ γὰρ
tyranny of-the despondency having-given-up your the soul the for
γράμματα, ἃ διὰ Πατρικίου ἡμῖν διεπέμψω, ταῦτα
letters which through Patricius to-us you-sent these-things
ἐδήλωσέ σου τὰ τραύματα τῆς διανοίας. Διὸ καὶ σφόδρα
showed your the wounds of-the mind therefore also greatly
ἀλγῶ καὶ ὀδυνῶμαι, ὅτι ὀφείλουσα πάντα κινεῖν καὶ
I-grieve and am-pained that owing all-things to-move and
πραγματεύεσθαι, ὥστε ἀπελαύνειν σου τῆς ψυχῆς τὴν
to-work so-as to-drive-away from-your the soul the
ἀθυμίαν, περιέρχῃ συνάγουσα λογισμοὺς ὀδυνηροὺς, καὶ
despondency you-go-around gathering thoughts painful and
τὰ μὴ ὄντα (τοῦτο γὰρ ἔφης) ἀναπλάττουσα, καὶ
the(-things) not being this for you-said fashioning and
καταξαίνουσα σαυτὴν εἰκῇ καὶ μάτην, καὶ ἐπὶ βλάβῃ
tearing yourself at-random and in-vain and to (the)-greatest
μεγίστῃ. Τί γάρ σε λυπεῖ, ὅτι Κουκουσοῦ οὐκ ἴσχυσας
harm what for you grieves that from-Cucusus not you-were-able
ἡμᾶς μεταστῆσαι; Καίτοι γε τὸ σὸν μέρος μετέστησας,
us to-remove and-yet at-least the your part you-removed(-us)
πάντα κινήσασα καὶ πραγματευσαμένη. Εἰ δὲ εἰς τέλος
all-things having-moved and having-worked if but to (the)-end
τὸ ἔργον οὐκ ἦλθεν, οὐδὲ διὰ τοῦτο ἀλγεῖν δεῖ. Ἴσως
the work not came nor for this to-grieve (is)-needful perhaps
γὰρ ἔδοξε τῷ Θεῷ μακροτέρους μοι τεθῆναι τῶν
for it-seemed-good — to-God longer for-me to-be-set of-the
δρόμων τοὺς διαύλους, ὥστε καὶ λαμπροτέρους γενέσθαι
courses the double-courses so-that also more-splendid to-become
τοὺς στεφάνους. Τί τοίνυν ἀλγεῖς ὑπὲρ τούτων, ἀφ' ὧν
the crowns why therefore do-you-grieve for these-things from which
ἡμεῖς ἀνακηρυττόμεθα, δέον σε σκιρτᾶν διὰ ταῦτα καὶ
we are-proclaimed it-being-right you to-leap for these-things and

χορεύειν καὶ στεφανοῦσθαι, ὅτι τοσούτου κατηξιώθημεν
to-dance and to-be-crowned that of-so-great we-were-deemed-worthy
πράγματος, σφόδρα ὑπερβαίνοντος ἡμῶν τὴν ἀξίαν; Ἀλλ' ἡ
(a)-thing greatly surpassing our the worth but the
ἐρημία σε λυπεῖ τῶν ἐνταῦθα; Καὶ τί τῆς διατριβῆς
desolation you grieves of-the(-places) here and what than-the stay
τῆς ἐνταῦθα ἥδιον; Ἡσυχία, γαλήνη, ἀπραγμοσύνη πολλὴ,
the here (is)-sweeter quiet calm freedom-from-affairs much
σώματος εὐρωστία. Εἰ γὰρ μήτε ἀγορὰν μήτε ὤνιον ἔχει
of-body health if for neither (a)-market nor (a)-ware has
ἡ πόλις, οὐδὲν τοῦτο πρὸς ἐμέ. Πάντα γάρ μοι καθάπερ
the city nothing (is)-this to me all-things for to-me as
ἐκ πηγῶν ἐπιῤῥεῖ. Καὶ γὰρ καὶ τὸν κύριόν μου τὸν
from springs flow and for also the lord my the
ἐπίσκοπον τὸν ἐνταῦθα, καὶ τὸν κύριόν μου Διόσκορον
bishop the here and the lord my Dioscorus
ἔχω, ἔργον τοῦτο ποιουμένους διόλου, τὴν ἡμετέραν
I-have (as)-a-work this making altogether the our
ἀνάπαυσιν. Ἐρεῖ δέ σοι καὶ ὁ καλὸς Πατρίκιος, ὅπως
rest will-tell and you also the good Patricius how
διάγομεν ἐν εὐθυμίᾳ, ἐν εὐφροσύνῃ, ἐν θεραπείᾳ πολλῇ, τό
we-live in good-cheer in gladness in care much the
γε εἰς τὴν διατριβὴν τὴν ἐνταῦθα ἥκον. Εἰ δὲ τὰ
at-least to the stay the here coming if but the(-things)
ἐν Καισαρείᾳ θρηνεῖς, καὶ τοῦτο ἀναξίως σου ποιεῖς. Καὶ
in Caesarea you-lament also this unworthily of-you you-do and
γὰρ ἐκεῖ λαμπροὶ πάλιν ἐπλάκησαν ἡμῖν οἱ στέφανοι,
for there splendid again were-woven for-us the crowns
ὡς πάντας ἡμᾶς ἀνακηρύττειν, ἀναγορεύειν, θαυμάζειν,
so-that all us to-proclaim to-announce to-admire
ἐκπλήττεσθαι, ἐφ' οἷς κακῶς παθόντες ἐξεβλήθημεν. Ἀλλὰ
to-be-amazed at what ill having-suffered we-were-cast-out but

ταῦτα μηδεὶς τέως εἰδέτω, εἰ καὶ πολλοὶ αὐτὰ
these-things let-no-one for-the-while know if even many them
διαθρυλλοῦσιν. Ἐδήλωσε γάρ μοι ὁ κύριός μου Παιάνιος,
noise-abroad showed for to-me the lord my Paeanius
ὅτι οἱ πρεσβύτεροι αὐτοῦ τοῦ Φαρετρίου πάρεισιν αὐτόθι,
that the presbyters very — of-Pharetrius are-present there
οἳ ἔφησαν ἡμῖν κοινωνεῖν, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς
who said with-us to-be-in-communion and nothing in-common to-have with
τοὺς ἐναντίους, μηδὲ συγγίνεσθαι αὐτοῖς, μηδὲ κοινωνῆσαι.
the opponents nor to-meet with-them nor to-communicate
Ἵν' οὖν μὴ διαταράξωμεν αὐτοὺς, μηδεὶς ταῦτα εἰδέτω·
that then not we-may-disturb them let-no-one these-things know
καὶ γὰρ σφόδρα χαλεπὰ τὰ συμβάντα εἰς ἡμᾶς.
and for very grievous (are)-the(-things) having-happened to us
Καὶ εἰ μηδὲν ἄλλο ἐπεπόνθειν δεινὸν, ἤρκει τὰ ἐκεῖσε
and if nothing else I-had-suffered terrible sufficed the(-things) there
γενόμενα μυρία μοι προξενῆσαι βραβεῖα· οὕτως περὶ τῶν
having-happened countless for-me to-procure prizes so about the
ἐσχάτων ἡμῖν ὁ κίνδυνος γέγονε. Παρακαλῶ δὲ, ἀπόῤῥητα
utmost(-things) for-us the danger has-been I-beseech(-you) and secret
ἔστω παρὰ σοὶ, καὶ ἐν βραχεῖ σοι αὐτὰ διηγήσομαι, οὐχ
let-it-be with you and in brief to-you them I-will-recount not
ἵνα λυπήσω, ἀλλ' ἵνα εὐφρανῶ. Αὗται γάρ μου τῆς
that I-may-grieve(-you) but that I-may-gladden(-you) these for my of-the
ἐμπορίας αἱ ὑποθέσεις, οὗτός μου ὁ πλοῦτος, αὕτη τῶν
merchandise (are)-the occasions this my the wealth this of-the
ἁμαρτημάτων μου ἡ δαπάνη, τὸ συνεχῶς διὰ τοιούτων
sins my the spending the continually through such
ὁδεύειν πειρασμῶν, καὶ ἐπάγεσθαί μοι τούτους, παρ' ὧν
to-travel trials and to-be-brought-on me these from whom
οὐδαμῶς προσεδόκησα. Ἐπειδὴ γὰρ ἐμέλλομεν ἐπιβαίνειν
in-no-way I-expected when for we-were-about to-set-foot-on

τῆς Καππαδοκῶν χώρας, ἀπαλλαγέντες τοῦ Γαλάτου,
the of-Cappadocians land having-been-freed from-the Galatian
κἀκείνου δὲ σχεδὸν θάνατον ἡμῖν ἀπειλήσαντος, πολλοὶ κατὰ
and-he and almost death to-us having-threatened many along
τὴν ὁδὸν ἡμῖν ἀπήντων, λέγοντες, ὅτι Ὁ κύριος Φαρέτριος
the road us met saying that the lord Pharetrius
ἀναμένει σε, καὶ πανταχοῦ περιέρχεται, μὴ ἀποτύχῃ
awaits you and everywhere goes-around lest he-miss
τῆς συντυχίας σου, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται,
the meeting your and all-things does and works
ὥστε σε ἰδεῖν, καὶ περιπτύξασθαι, καὶ πᾶσαν ἐπιδείξασθαι
so-as you to-see and to-embrace and all to-show
ἀγάπην· καὶ τὰ μοναστήρια ἀνδρῶν καὶ γυναικῶν ἐκίνησεν.
love and the monasteries of-men and women he-moved
Ἐγὼ δὲ ταῦτα ἀκούων, τούτων μὲν οὐδὲν προσεδόκων,
I but these-things hearing of-these indeed nothing expected
ἀλλὰ τἀναντία ἀνετύπουν παρ᾽ ἐμαυτῷ· τῶν μέντοι
but the-opposite pictured within myself of-those however
ταῦτα ἀπαγγελλόντων οὐδενὶ τούτων οὐδὲν ἔλεγον.
these-things announcing to-none of-these nothing I-said

2 Ἐπειδὴ δὲ ἐπέβην ὀψέ ποτε τῆς Καισαρείας, κατειργασμένος,
when but I-set-foot-in late at-last — Caesarea worn-out
τεταριχευμένος, ἐν αὐτῇ τῆς φλογὸς τῇ ἀκμῇ τοῦ πυρετοῦ
pickled in very of-the flame the peak of-the fever
κείμενος, ἀλύων, τὰ ἔσχατα πάσχων, ἐπέτυχον
lying distraught the utmost(-things) suffering I-found
καταγωγίου πρὸς αὐτῇ τῆς πόλεως τῇ ἐσχατιᾷ κειμένου,
(an)-inn at very of-the city the edge lying
καὶ σπουδὴν ἐποιούμην ὥστε καὶ ἰατροῖς συντυχεῖν, καὶ
and zeal I-made so-as both physicians to-meet and
τὴν κάμινον ἐκείνην σβέσαι· ἦν γὰρ αὐτὴ ἡ ἀκμὴ τοῦ
the furnace that to-quench it-was for very the peak of-the

τριταίου. Καὶ προσῆν καὶ ἡ τῆς ὁδοῦ ταλαιπωρία, ὁ
tertian(-fever) and was-present also the of-the road misery the
κάματος, ἡ συντριβὴ, ἡ τῶν θεραπευσόντων ἐρημία, ἡ
weariness the crushing the of-those going-to-tend(-me) desolation the
τῶν ἐπιτηδείων ἀπορία, τὸ μηδένα παρεῖναι ἡμῖν ἰατρὸν,
of-the necessaries lack the no-one to-be-present for-us (a)-physician
τὸ καμάτῳ καὶ θάλπει καὶ ἀγρυπνίαις καταταθῆναι, καὶ
the with-weariness and heat and sleeplessness to-be-strained and
σχεδὸν αὐτὸς νεκρὸς ὢν, εἰσῆλθον εἰς τὴν πόλιν. Τότε
almost myself dead being I-entered into the city then
δὴ παρεγένοντο ὁ κλῆρος ἅπας, ὁ δῆμος, μονάζοντες,
indeed came the clergy whole the people monks
μονάστριαι, ἰατροὶ, πολλῆς ἀπήλαυον θεραπείας, πάντων
nuns physicians much I-enjoyed care all
πάντα ἡμῖν διακονουμένων, ὑπηρετουμένων. Ἀλλὰ καὶ
all-things for-us ministering serving but even
οὕτως πολλῷ τῷ κάρῳ τῆς φλογὸς κατεχόμενος, ἐν
so with-great the stupor of-the flame held in
ἐσχάτοις ἤμην δεινοῖς. Τέλος κατὰ μικρὸν ἔληγε καὶ ἐλώφα
utmost I-was terrors at-last by little it-abated and eased
τὸ νόσημα. Ὁ δὲ Φαρέτριος οὐδαμοῦ· ἀλλ' ἀνέμενεν ἡμῶν
the disease — but Pharetrius nowhere but awaited our
τὴν ἔξοδον, οὐκ οἶδα τί δόξαν αὐτῷ. Ἐπειδὴ τοίνυν
the departure not I-know what having-seemed-good to-him when therefore
εἶδον ἠρέμα λωφῆσαν τὸ κακὸν, ἐβουλευόμην λοιπὸν περὶ
I-saw gently abated the evil I-took-counsel henceforth about
ἀποδημίας, ὥστε ἐπιλαβέσθαι τῆς Κουκουσοῦ, καὶ μικρὸν
departure so-as to-reach — Cucusus and (a)-little
ἀναπαύσασθαι τῶν τῆς ὁδοῦ συμφορῶν. Καὶ ἐν τούτοις
to-rest from-the of-the road calamities and in these
ἡμῶν ὄντων, ἀπαγγέλλονται ἀθρόον Ἰσαῦροι πλῆθος
us being are-announced all-at-once Isaurians (a)-multitude

ἄπειρον κατατρέχοντες τὴν Καισαρέων χώραν καί τινα
boundless overrunning the of-Caesareans land and some
κώμην μεγάλην ἐμπρήσαντες, καὶ τὰ ἔσχατα διαθέντες.
village great having-burned and the utmost(-things) having-done(-to-it)
Τοῦτο ἀκούσας ὁ τριβοῦνος, λαβὼν τοὺς στρατιώτας
this having-heard the tribune taking the soldiers
οὓς εἶχεν, ἐξῆλθεν. Ἐδεδοίκεισαν γὰρ μὴ καὶ τῇ πόλει
whom he-had went-out they-feared for lest even the city
προσβάλωσι, καὶ πάντες ἦσαν ἐν φόβῳ, πάντες ἐν ἀγωνίᾳ,
they-attack and all were in fear all in anguish
περὶ αὐτοῦ τοῦ ἐδάφους τῆς πατρίδος κινδυνεύοντες, ὡς
about very the ground of-the fatherland being-in-danger so-that
καὶ αὐτοὺς τοὺς πρεσβύτας τὴν φυλακὴν τῶν τειχῶν
even very the old-men the guard of-the walls
μεταχειρίζεσθαι. Ἐν τούτοις τῶν πραγμάτων ὄντων, ἀθρόον
to-take-in-hand in these the affairs being all-at-once
ὑπὸ τὴν ἕω δροῦγγος μοναζόντων (οὕτω γὰρ δεῖ
toward the dawn (a)-troop of-monks so for (it-is)-needful
εἰπεῖν, καὶ τῇ λέξει τὴν μανίαν αὐτῶν ἐνδείξασθαι)
to-say and by-the word the madness their to-show
ἐπέστησαν τῇ οἰκίᾳ ἔνθα ἦμεν, ἀπειλοῦντες αὐτὴν καίειν,
stood-over the house where we-were threatening it to-burn
ἐμπιμπρᾶν, τὰ ἔσχατα ἡμᾶς διατιθέναι, εἰ μὴ ἐξέλθοιμεν.
to-set-on-fire the utmost(-things) us to-do if not we-went-out
Καὶ οὔτε ὁ τῶν Ἰσαύρων αὐτοὺς φόβος, οὔτε ἡ ἀῤῥωστία
and neither the of-the Isaurians them fear nor the sickness
οὕτω σφοδρῶς ἐπικειμένη, οὔτε ἄλλο οὐδὲν ἐποίησεν
so violently pressing nor other nothing made
ἐπιεικεστέρους αὐτοὺς, ἀλλ᾽ ἐπέκειντο τοσούτου θυμοῦ
more-reasonable them but they-pressed-on so-great wrath
πνέοντες ὡς καὶ αὐτοὺς φοβηθῆναι τοὺς ἐπαρχικούς.
breathing so-that even very to-be-frightened the prefect's(-soldiers)

Καὶ γὰρ καὶ αὐτοῖς ἠπείλουν πληγὰς, καὶ ἐκαλλωπίζοντο
and for also them they-threatened (with)-blows and boasted
ὡς καὶ ἤδη πολλοὺς αἰσχρῶς τυπτήσαντες ἐπαρχικούς.
as also already many shamefully having-beaten prefect's(-soldiers)
Ταῦτα οἱ ἐπαρχικοὶ ἀκούσαντες, κατέφυγον εἰς ἡμᾶς,
these-things the prefect's(-soldiers) having-heard fled-for-refuge to us
παρεκάλουν τε καὶ ἐδέοντο, ὅτι Κἂν εἰς Ἰσαύρους
entreated both and begged that even-if into Isaurians
μέλλωμεν ἐμπίπτειν, ἀπάλλαξον ἡμᾶς τῶν θηρίων τούτων.
we-are-to fall free us from-the beasts these
Ἀκούσας ὁ ἡγεμὼν κατέδραμεν ἐπὶ τὴν οἰκίαν, βουλόμενος
having-heard the governor ran-down to the house wishing
ἡμῖν βοηθῆσαι. Οὐδὲ ἐκείνου παρακαλοῦντος ἠνέσχοντο
us to-help not-even him entreating they-bore-with(-him)
οἱ μονάζοντες, ἀλλὰ καὶ αὐτὸς ἠσθένησεν. Ὁρῶν τοίνυν
the monks but even he was-weak seeing therefore
τὰ πράγματα ἐν ἀπορίᾳ πολλῇ, καὶ οὔτε τολμῶν ἡμῖν
the affairs in perplexity great and neither daring us
συμβουλεῦσαι εἰς φόνον φανερὸν ἐξελθεῖν, οὔτε πάλιν ἔνδον
to-counsel to murder plain to-go-out nor again within
μένειν, διὰ τὴν τοσαύτην ἐκείνων μανίαν, ἔπεμψε πρὸς
to-remain because-of the so-great their madness he-sent to
τὸν Φαρέτριον, παρακαλῶν ὀλίγων ἐνδοῦναι ἡμερῶν, διά
— Pharetrius entreating few to-grant days because-of
τε τὴν ἀῤῥωστίαν, διά τε τὸν ἐπικείμενον κίνδυνον.
both the sickness because-of and the pressing danger
Καὶ οὐδὲ οὕτως ἐγένετό τι πλέον, ἀλλὰ καὶ τῇ
and not-even so came anything more but even on-the
ἑξῆς σφοδρότεροι παρεγένοντο, καὶ τῶν πρεσβυτέρων
next(-day) more-violent they-came and of-the presbyters
οὐδεὶς ἐτόλμα παραστῆναι καὶ βοηθῆσαι, ἀλλ' αἰσχυνόμενοι
no-one dared to-stand-by and to-help but being-ashamed

καὶ ἐρυθριῶντες (κατὰ γὰρ γνώμην Φαρετρίου ἔλεγον
and blushing according-to for (the)-mind of-Pharetrius they-said
ταῦτα γίνεσθαι) ἐκρύπτοντο, ἐλάνθανον, καλούμενοι παρ᾽
these-things to-happen they-hid escaped-notice called by
ἡμῶν οὐχ ὑπήκουον. Τί δεῖ πολλὰ λέγειν; Καὶ φόβων
us not they-listened what need much to-say and fears
τοσούτων ἐπικειμένων, καὶ θανάτου σχεδὸν δήλου, καὶ τοῦ
so-great pressing and death almost plain and the
πυρετοῦ με κατεργαζομένου (οὐδὲ γὰρ ἡμῖν ἀπαλλαγὴ
fever me wearing-down not-even for for-us (was-there)-release
οὐδέπω τῶν κακῶν τῶν ἐντεῦθεν), μεσημβρίας μέσης
not-yet from-the evils the here at-midday mid
ῥίψας ἑαυτὸν εἰς τὸ λεκτίκιον, ἐξηγόμην ἐκεῖθεν, τοῦ
having-thrown myself into the litter I-was-led-out from-there the
δήμου παντὸς κωκύοντος, ὀλολύζοντος, ἐπαρωμένου τῷ
people all wailing crying-out cursing the(-one)
ταῦτα πεποιηκότι, ὀλοφυρομένων πάντων καὶ θρηνούντων.
these-things having-done mourning all and lamenting
Ἐπειδὴ δὲ τῆς πόλεως ἐξῆλθον, καὶ τῶν κληρικῶν τινες
when but from-the city I-went-out also of-the clergy some
ἐξελθόντες ἠρέμα, ἡμᾶς προέπεμψαν ὀδυρόμενοι. Καί τινων
having-come-out quietly us escorted lamenting and some
λεγόντων ἀκούσαντες, Ποῦ αὐτὸν ἀπάγετε εἰς φανερὸν
saying having-heard where him are-you-leading-away to plain
θάνατον; ἕτερος ἔλεγε πρὸς ἡμᾶς τῶν σφόδρα ἡμᾶς
death another said to us of-those very us
φιλούντων· Ἄπελθε, δέομαί σου· εἰς Ἰσαύρους ἔμπεσον,
loving go-away I-beg you into Isaurians fall
μόνον ἡμῶν ἀπαλλάγηθι. Ὅπου γὰρ ἂν ἐμπέσῃς, εἰς
only from-us be-freed wherever for — you-fall into
ἀσφάλειαν ἐμπίπτεις, ἂν ἡμετέρας διαφύγοις χεῖρας. Ταῦτα
safety you-fall if our you-escape hands these-things

ἀκούσασα καὶ ὁρῶσα ἡ καλὴ Σελευκία, ἡ τοῦ κυρίου μου
having-heard and seeing the good Seleucia the of-the lord my
Ῥουφίνου ἐλευθέρα (καὶ γὰρ σφόδρα ἡμᾶς ἐθεράπευσε),
Rufinus wife and for very us she-tended
παρεκάλεσε καὶ ἐδεήθη, ὥστε εἰς τὸ προάστειον αὐτῆς
entreated and begged so-that at the suburban-estate her
καταλῦσαι, πρὸ πέντε μιλίων τῆς πόλεως ὂν, καὶ
to-lodge before five miles of-the city being and
συνέπεμψεν ἡμῖν ἀνθρώπους, καὶ ἀπήλθομεν ἐκεῖσε.
she-sent-with us men and we-went-away there
Ἀλλ᾽ οὐδὲ ἐκεῖ ἔμελλεν ἡμῶν ἀποστήσεσθαι ἡ ἐπιβουλὴ 3
but not-even there was-going from-us to-desist the plot
αὕτη. Ὡς γὰρ ἔγνω ὁ Φαρέτριος, ἐδήλωσεν αὐτῇ, καθὼς
this as for learned — Pharetrius he-showed to-her as
ἔλεγε, πολλὰς ἀπειλάς. Ἐπεὶ δέ με εἰς τὸ προάστειον αὐτῆς
he-said many threats since but me to the suburban-estate her
ὑπεδέξατο, κἀγὼ τούτων οὐκ ᾔδειν οὐδέν· ἀλλ᾽ ἐξελθοῦσα
she-received and-I of-these not knew nothing but having-come-out
πρὸς ἡμᾶς, ταῦτα μὲν ἡμᾶς ἀπέκρυβεν, ἐδήλου δὲ τῷ
to us these-things indeed from-us she-bid she-showed but to-the
ἐπιτρόπῳ ἐκεῖσε ὄντι, πᾶσάν τε ἡμῖν ἀνάπαυσιν παρασχεῖν,
steward there being all both to-us rest to-furnish
καὶ εἴ τινες εἰς ἡμᾶς ἐπέλθοιεν μονάζοντες, βουλόμενοι
and if some against us should-come monks wishing
ἡμᾶς ἐνυβρίσαι ἢ συντρῖψαι, συναγαγεῖν γεωργοὺς ἀπὸ
us to-outrage or to-crush to-gather farmers from
τῶν ἄλλων αὐτῆς χωρίων, καὶ οὕτω παρατάξασθαι πρὸς
the other her estates and so to-draw-up-battle against
αὐτούς. Παρεκάλει δὲ καὶ εἰς τὴν οἰκίαν αὐτῆς κάστελλον
them she-entreated and also into the house her (a)-castle
ἔχουσαν, καὶ ἀχείρωτον οὖσαν καταφυγεῖν, ὥστε τοῦ
having and impregnable being to-flee so-as of-the

ἐπισκόπου καὶ μοναζόντων ἐκφυγεῖν τὰς χεῖρας. Ἀλλὰ
bishop and monks to-escape the hands but
τοῦτο μὲν οὐκ ἠνεσχόμην, ἀλλ᾽ ἤμην ἐν τῷ προαστείῳ,
this indeed not I-bore but I-was in the suburban-estate
οὐδὲν εἰδὼς τῶν μετὰ ταῦτα κατασκευαζομένων.
nothing knowing of-the(-things) after these-things being-contrived
Οὐδὲ τοῦτο αὐτοῖς ἤρκεσεν εἰς τὸ ἀποστῆναι τῆς
nor this for-them sufficed for the to-desist from-the
καθ᾽ ἡμῶν μανίας. Εἶτα νυκτῶν μέσων, οὐδὲν τούτων
against us madness then at-night mid nothing of-these
εἰδὼς (πολὺς γὰρ ἐπέκειτο ὁ Φαρέτριος ἀπειλῇ ἀπειλῶν
knowing great for pressed — Pharetrius with-threat threatening
ἐκείνῃ, καθώς φησι, καταναγκάζων, ὠθῶν, ὥστε ἡμᾶς
her as he-says compelling pushing so-as us
ἐκβαλεῖν καὶ τῶν προαστείων), οὐ φέρουσα ἡ γυνὴ τὴν
to-cast-out even from-the suburban-estates not bearing the woman the
ἐπάχθειαν αὐτοῦ, οὐκ εἰδότος ἐμοῦ, ἐδήλωσεν αὐτόθι, ὅτι
oppressiveness his not knowing me she-showed there that
οἱ βάρβαροι ἐπέστησαν, αἰσχυνομένη τὴν ἀνάγκην εἰπεῖν,
the barbarians had-come being-ashamed the necessity to-tell
ἣν ὑπέμεινεν. Καὶ μέσων νυκτῶν εἰσελθὼν πρός με
which she-had-endured and at-mid night having-come-in to me
Εὐήθιος ὁ πρεσβύτερος, καθεύδοντά με διεγείρας, μετὰ
Evethius the presbyter sleeping me having-roused with
πολλῆς τῆς βοῆς ταῦτα ἔλεγεν· Ἀνάστηθι, παρακαλῶ,
much the shouting these-things said rise I-beseech(-you)
βάρβαροι ἐπέστησαν, ἐνταῦθα πλησίον εἰσίν. Ἐννόησον τίς
barbarians have-come here near they-are consider what
ἤμην ταῦτα ἀκούων. Εἶτα ὡς πρὸς αὐτὸν εἶπον, Καὶ
I-was these-things hearing then as to him I-said and
τί δέοι πρᾶξαι; εἰς τὴν πόλιν οὐ δυνάμεθα καταφυγεῖν,
what must-we do into the city not we-can flee

μὴ χαλεπώτερα πάθωμεν ὧν οἱ Ἰσαῦροι μέλλουσιν
lest more-grievous(-things) we-suffer than-what the Isaurians are-about
ἡμῖν ποιεῖν, ἠνάγκαζεν ἐξιέναι. Νὺξ ἦν ἀσέληνος, ἡ
to-us to-do he-compelled(-us) to-go-out night it-was moonless the
νὺξ μέση, ζοφώδης, σκοτεινή· καὶ τοῦτο αὐτὸ πάλιν
night mid gloomy dark and this very again
ἀπορίας ἀνάμεστον ἦν ἡμῖν· καὶ οὐδεὶς ὁ παρὼν,
of-perplexity full was for-us and no-one the(-one) present
οὐδεὶς ὁ βοηθῶν, πάντες γὰρ ἡμᾶς ἐγκατέλιπον.
no-one the(-one) helping all for us had-forsaken
Ὅμως ὑπὸ τοῦ φόβου συνωθισθεὶς, καὶ προσδοκῶν εὐθέως
nevertheless by the fear pushed and expecting at-once
ἀποθανεῖσθαι, διανέστην τεταλαιπωρημένος, κελεύσας
to-die I-rose-up worn-out having-ordered
λαμπάδας ἀναφθῆναι. Ἀλλὰ καὶ ταύτας ὁ πρεσβύτερος
torches to-be-lit but even these the presbyter
ἐκέλευσε σβέννυσθαι, μήποτε, φησὶν, οἱ βάρβαροι τῷ
ordered to-be-put-out lest he-says the barbarians by-the
φωτὶ καλούμενοι πρὸς ἡμᾶς, ἐπιτεθῶσιν ἡμῖν· ἐσβέσθησαν
light called toward us should-attack us were-put-out
καὶ αἱ λαμπάδες. Εἶτα ὁ βόρδων ὁ φέρων ἡμῶν
also the torches then the mule the carrying our
τὸ λεκτίκιον (τραχεῖα γὰρ ἦν σφόδρα ἡ ὁδὸς, καὶ
the litter rough for was very the road and
ἀνάντης καὶ λιθώδης), κατενεχθεὶς ἐπὶ γόνυ, κατήνεγκέ
steep and stony brought-down on (its)-knee brought-down
με ἔνδον ὄντα, καὶ μικροῦ δεῖν, ἔμελλον ἀπόλλυσθαι,
me inside being and little short I-was-about to-perish
εἶτα ἐκπηδήσας, συρόμενος περιεπάτουν, ὑπὸ Εὐηθίου τοῦ
then having-leapt-out dragged I-walked by Evethius the
πρεσβυτέρου κατεχόμενος (κατεπήδησε γὰρ καὶ αὐτὸς
presbyter held he-leapt-down for also he

τοῦ ὑποζυγίου), καὶ οὕτως χειραγωγούμενος ἐβάδιζον,
from-the beast-of-burden and so led-by-the-hand I-walked
μᾶλλον δὲ ἑλκόμενος· οὔτε γὰρ βαδίζειν ἦν εἰς
rather and dragged neither for to-walk it-was-possible in
τοσαύτην δυσχωρίαν, καὶ ὄρη χαλεπὰ, ἐν νυκτὶ μέσῃ.
so-great rough-ground and mountains grievous in night mid
Ἐννόησον τί με πάσχειν εἰκὸς ἦν τοσούτοις συνεχόμενον
consider what me to-suffer likely it-was by-so-many beset
κακοῖς, καὶ τοῦ πυρετοῦ ἐπικειμένου, μηδὲν εἰδότα τῶν
evils and the fever pressing nothing knowing of-the(-things)
κατεσκευασμένων, ἀλλὰ δεδοικότα τοὺς βαρβάρους, καὶ
contrived but fearing the barbarians and
τρέμοντα, καὶ προσδοκῶντα εἰς τὰς χεῖρας αὐτῶν
trembling and expecting into the hands their
ἐμπεσεῖσθαι. Οὐ δοκεῖ σοι μόνα ταῦτα τὰ παθήματα,
to-fall not does-it-seem to-you alone these the sufferings
εἰ καὶ μηδὲν ἄλλο μοι ἕτερον συμβεβήκοι, πολλὰ ἡμῶν
if even nothing other to-me else had-happened many our
δύνασθαι διαλύειν τῶν ἁμαρτημάτων, καὶ πολλήν μοι
to-be-able to-dissolve of-the sins and great to-me
παρέχειν εὐδοκιμήσεως ἀφορμήν; Τὸ δὲ αἴτιον, ὡς ἔγωγε
to-furnish of-renown (a)-starting-point the but cause as I-at-least
οἶμαι, πάντες εὐθέως εἰσελθόντα με ἐν Καισαρείᾳ, οἱ ἐν
think all at-once having-come-in me in Caesarea those in
ἀξιώμασιν, οἱ ἀπὸ βικαρίων, οἱ ἀπὸ ἡγεμόνων σοφισταὶ,
dignities those from vicariates those from governorships sophists
οἱ ἀπὸ τριβούνων, ὁ δῆμος ἅπας καθ' ἑκάστην ἑώρων
those from tribunates the people whole by each saw(-me)
τὴν ἡμέραν, ἐθεράπευον, ἐπὶ τῆς κόρης τῶν ὀφθαλμῶν
the day tended(-me) on the pupil of-the eyes
ἐβάσταζον· ταῦτα οἶμαι ὑποκνίσαι τὸν Φαρέτριον, καὶ
carried(-me) these-things I-think to-have-stung — Pharetrius and

τὸν φθόνον τὸν ἐλάσαντα ἡμᾶς ἀπὸ Κωνσταντινουπόλεως,
the envy the having-driven us from Constantinople
οὐδὲ ἐνταῦθα ἡμῶν ἀποστῆναι, ὡς ἔγωγε οἶμαι· οὐδὲ
not-even here from-us to-desist as I-at-least think not
γὰρ ἀποφαίνομαι, ἀλλ' ὑποπτεύω. Τί ἄν τις εἴποι τὰ
for I-declare(-it) but I-suspect what — could-one say(-of) the
ἄλλα τὰ κατὰ τὴν ὁδὸν, τοὺς φόβους, τοὺς κινδύνους;
other(-things) the along the road the fears the dangers
Ἅπερ καθ' ἑκάστην ἡμέραν ἀναμμνησκόμενος αὐτὸς, καὶ
which by each day remembering I-myself and
ἀεὶ ἐν διανοίᾳ περιφέρων, πέτομαι ὑπὸ τῆς ἡδονῆς, σκιρτῶ
always in mind carrying-around I-fly by the pleasure I-leap
ὡς θησαυρὸν μέγαν ἔχων ἀποκείμενον· καὶ γὰρ οὕτως ἔχω
as (a)-treasure great having laid-up and for so I-am
καὶ διάκειμαι. Διὸ καὶ τὴν σὴν παρακαλῶ τιμιότητα χαίρειν
and am-disposed therefore also the your I-beseech honor to-rejoice
ἐπὶ τούτοις, εὐφραίνεσθαι, σκιρτᾷν, τὸν Θεὸν δοξάζειν,
at these-things to-be-glad to-leap — God to-glorify
τὸν καταξιώσαντα ἡμᾶς τοιαῦτα παθεῖν. Καὶ παρὰ
the(-one) having-deemed-worthy us such(-things) to-suffer and with
σαυτῇ παρακαλῶ ταῦτα ἔχειν, καὶ πρὸς μηδένα ἐξειπεῖν,
yourself I-beseech(-you) these-things to-keep and to no-one to-tell-out
εἰ καὶ τὰ μάλιστα οἱ ἐπαρχικοὶ πᾶσαν ἐμπλῆσαι τὴν
if even the most the prefect's(-soldiers) all to-fill the
πόλιν ἔχουσι, καὶ αὐτοὶ περὶ τῶν ἐσχάτων κινδυνεύσαντες.
city are-able also they about the utmost(-things) having-been-in-danger
Πλὴν παρὰ τῆς σῆς εὐλαβείας μηδεὶς εἰδέτω τοῦτο, 4
except from the your piety let-no-one know this
ἀλλὰ καὶ κατάστελλε τοὺς λέγοντας. Εἰ δὲ διὰ τὰ
but even restrain those speaking(-of-it) if but because-of the
λείψανα τῆς κακώσεως ἀλγεῖς, μάθε σαφῶς, ὅτι καθαρῶς
remnants of-the ill-treatment you-grieve learn clearly that purely

ἁπάντων ἀπηλλάγην, καὶ ἐῤῥωμενέστερον ἔχω τὸ σῶμα,
from-all I-have-been-freed and stronger I-have the body
ἢ αὐτόθι διατρίβων. Τὸν δὲ κρυμὸν τί δέδοικας; καὶ γὰρ
than there staying the but frost why do-you-fear and for
καὶ οἰκήματα ἐπιτήδεια ἡμῖν κατεσκεύασται· καὶ πάντα
also dwellings suitable for-us have-been-prepared and all-things
ὁ κύριός μου Διόσκορος ποιεῖ καὶ πραγματεύεται, ὥστε
the lord my Dioscorus does and works so-that
μηδὲ μικρὰν αἴσθησιν ἡμᾶς λαβεῖν ἀπὸ τοῦ κρυμοῦ; Εἰ
not-even small perception us to-receive from the frost if
δέ ἐστιν ἀπὸ τῶν προοιμίων στοχάσασθαι, ἐμοὶ ὁ νῦν
and it-is-possible from the preludes to-guess to-me the present
ἀὴρ ἀνατολικὸς εἶναι δοκεῖ, καὶ οὐδὲν ἔλαττον Ἀντιοχείας.
air eastern to-be seems and in-nothing less than-Antioch
Τοσοῦτον τὸ θάλπος, τοσαύτη ἡ εὐκρασία τοῦ ἀέρος.
so-great the warmth so-great the mildness of-the air
Σφόδρα δέ με ἐλύπησας εἰποῦσα, ὅτι Ἴσως καὶ πρὸς ἡμᾶς
very but me you-grieved having-said that perhaps also toward us
λυπῇ ὡς ἀμελήσαντας. Καίτοι γε πρὸ πολλῶν
you-are-grieved as having-neglected(-you) and-yet at-least before many
ἡμερῶν ἐπέστειλα πρὸς τὴν σὴν τιμιότητα, παρακαλῶν
days I-wrote to the your honor beseeching(-you)
μὴ κινεῖν με ἐντεῦθεν. Ἐγὼ δὲ τοῦτο ἐννοῆσαι εἶχον,
not to-move me from-here I but this to-consider had
πολλῆς σοι ἀπολογίας δεῖν, καὶ πολλῶν ἱδρώτων καὶ
much for-you of-defense to-be-needed and many sweats and
καμάτου, ἵνα δυνηθῇς πρὸς τοῦτο ἀπολογήσασθαι τὸ
labor that you-might-be-able to this to-defend-yourself the
ῥῆμα. Τάχα δὲ ἐκ μέρους καὶ ἀπολελόγησαι, εἰποῦσα ὅτι
word perhaps but in part also you-have-defended-yourself having-said that
ἁπλῶς λογίζομαι τοῦτο ὑπὲρ τοῦ αὔξειν τὴν θλῖψιν. Ἀλλὰ
simply I-reckon this for the to-increase the affliction but

καὶ τοῦτο πάλιν λογίζομαι ἔγκλημα μέγιστον, τὸ λέγειν
also this again I-reckon (a)-charge greatest the to-say
ὅτι καὶ προσφιλοτιμοῦμαι τοῖς λογισμοῖς τὰς ὀδύνας·
that even I-strive-for by-the thoughts the pains
δέον γὰρ πάντα σε ποιεῖν καὶ πραγματεύεσθαι ὑπὲρ
(it-being)-needful for all-things you to-do and to-work for
τοῦ καταλύειν τὴν θλῖψιν, τὸ θέλημα τοῦ διαβόλου ποιεῖς,
the to-dissolve the affliction the will of-the devil you-do
αὔξουσα τὴν ἀθυμίαν καὶ τὴν λύπην. Ἢ οὐκ οἶσθα
increasing the despondency and the grief or not do-you-know
πόσον κακὸν ἡ ἀθυμία; Τῶν δὲ Ἰσαύρων ἕνεκεν
how-great (an)-evil (is)-the despondency of-the and Isaurians for-the-sake
μηδὲν δέδιθι λοιπόν· καὶ γὰρ ὑπέστρεψαν εἰς τὴν χώραν
nothing fear henceforth and for they-returned to the land
αὐτῶν· καὶ ὁ ἡγεμὼν πάντα ἐποίησεν ὑπὲρ τούτου·
their and the governor all-things did for this
καὶ ἐν ἀσφαλείᾳ ἐσμὲν πολλῷ μᾶλλον ἐνταῦθα ὄντες,
and in safety we-are far more here being
ἢ ὅτε ἐν Καισαρείᾳ ἦμεν. Οὐδένα γὰρ λοιπὸν δέδοικα
than when in Caesarea we-were no-one for henceforth I-fear
ὡς τοὺς ἐπισκόπους, πλὴν ὀλίγων. Ὅλως τοίνυν τῶν
as the bishops except few altogether therefore of-the
Ἰσαύρων ἕνεκεν, μηδὲν δέδιθι· καὶ γὰρ ἀνεχώρησαν, καὶ
Isaurians for-the-sake nothing fear and for they-withdrew and
τοῦ χειμῶνος καταλαβόντος οἴκοι εἰσὶ συγκεκλεισμένοι,
the winter having-set-in at-home they-are shut-up
ἂν ἄρα λοιπὸν μετὰ τὴν Πεντεκοστὴν ἐξέλθοιεν.
— after-all henceforth after the Pentecost they-might-come-out
Πῶς δὲ λέγεις γραμμάτων οὐκ ἀπολαύειν; Ἤδη σοι
how but do-you-say of-letters not to-enjoy already to-you
τρεῖς ἔπεμψα ἐπιστολὰς, τὴν μὲν διὰ τῶν ἐπαρχικῶν,
three I-sent letters the(-one) indeed through the prefect's(-soldiers)

τὴν δὲ δι᾽ Ἀντωνίου, τὴν δὲ δι᾽ Ἀνατολίου τοῦ
the(-other) and through Antonius the(-other) and through Anatolius the
οἰκέτου σου, πολυστίχους· τὰς δὲ δύο μάλιστα φάρμακον
servant your of-many-lines the and two especially (a)-medicine
σωτήριον, πάντα ἀθυμοῦντα, πάντα σκανδαλιζόμενον
saving every(-one) despondent every(-one) scandalized
ἱκανὰς ἀνακτήσασθαι, καὶ πρὸς καθαρὰν εὐθυμίαν ἀγαγεῖν.
sufficient to-restore and to pure good-cheer to-bring
Λαβοῦσα τοίνυν ταύτας, ἐπέρχου συνεχῶς καὶ διὰ
having-taken therefore these go-over(-them) continually and through
παντὸς, καὶ ὄψει αὐτῶν τὴν ἰσχὺν, καὶ τῆς ἰατρείας
all and you-will-see their the strength and of-the healing
πεῖραν λήψῃ πολλὴν, καὶ ὠφέλειαν, καὶ ἡμῖν δηλώσεις,
experience you-will-receive much and benefit and to-us you-will-show
ὅτι γέγονέ σοί τι πλέον ἐκεῖθεν. Ἔχω καὶ τρίτην
that has-come to-you something more from-there I-have also (a)-third
ἑτοίμην ἐοικυῖαν αὐταῖς, ἣν οὐκ ἠβουλήθην πέμψαι νῦν,
ready like them which not I-wished to-send now
σφόδρα ἀλγήσας ἐφ᾽ οἷς λέγεις, ὅτι καὶ συνάγω μοι
greatly grieved at what you-say that even I-gather for-myself
λογισμοὺς ὀδυνηροὺς, καὶ τὰ οὐκ ὄντα ἀναπλάττουσα,
thoughts painful and the(-things) not being fashioning
ἀνάξιον σεαυτῆς φθεγξαμένη ῥῆμα, ἐφ᾽ ᾧ καὶ αὐτὸς
unworthy of-yourself having-uttered (a)-word at which also I-myself
αἰσχύνομαι καὶ ἐγκαλύπτομαι. Πλὴν ἀνάγνωθι ἐκείνας,
am-ashamed and hide-my-face except read those
καὶ οὐκ ἔτι ταῦτα ἐρεῖς, κἂν μυριάκις φιλονεικῇς
and not any-longer these-things you-will-say even-if countless-times you-strive
ἀθυμεῖν. Ἐπειδὴ καὶ περὶ Ἡρακλείδου τοῦ ἐπισκόπου
to-be-despondent since also about Heraclides the bishop
ἡμῖν ἐδήλωσας, ἔξεστιν αὐτῷ, εἰ βουληθείη, δοῦναι
to-us you-showed it-is-possible for-him if he-should-wish to-give

ἔνστασιν, καὶ πάντων ἀπαλλαγῆναι· οὐδὲν γὰρ ἄλλο
(a)-plea and from-all to-be-freed nothing for else
λείπεται. Ἐγὼ δὲ εἰ καὶ μηδὲν μέγα ἤνυον, ἀλλ' ὅμως
remains I but if even nothing great I-accomplished but nevertheless
ἐδήλωσα τῇ κυρίᾳ μου Πενταδίᾳ, ὥστε πᾶσαν σπουδὴν
I-showed(-it) to-the lady my Pentadia so-that all zeal
ἐπιδείξασθαι, εἴ τινα ἐπινοήσειε τῷ κακῷ παραμυθίαν.
to-show if any she-should-devise for-the evil comfort
Ἔφης δὲ τετολμηκέναι δηλῶσαί μοι τὰ λυπηρὰ, διὰ
you-said and to-have-dared to-show to-me the painful(-things) because-of
τὸ παρ' ἐκείνου κελευσθῆναι. Ποία τόλμα τοῦτο;
the by that(-one) to-have-been-bidden what-kind (of)-daring (is)-this
Οὔτε γοῦν ἐπαυσάμην λέγων, οὔτε παύσομαι, ὅτι ἓν
neither at-least I-have-ceased saying nor I-will-cease that one
λυπηρὸν ἁμαρτία μόνον· τὰ δὲ ἄλλα πάντα κόνις
painful(-thing) (is)-sin only the but other(-things) all (are)-dust
καὶ καπνός. Τί γὰρ βαρὺ δεσμωτήριον οἰκῆσαι, καὶ
and smoke what for (is)-heavy (a)-prison to-inhabit and
ἅλυσιν περικεῖσθαι; τί δὲ βαρὺ πάσχειν κακῶς, ὅταν
(a)-chain to-wear what and (is)-heavy to-suffer ill when
τοσαύτης ἐμπορίας τὸ πάσχειν κακῶς ὑπόθεσις γένηται;
of-so-great merchandise the to-suffer ill (the)-occasion becomes
τί δὲ ἐξορία βαρύ; τί δὲ δήμευσις; Ῥήματα ταῦτά
what and (is)-exile heavy what and confiscation words these
ἐστι δεινῶν πραγμάτων ἔρημα, ῥήματα λύπης ψιλά. Ἄν
are of-terrible things empty words of-grief bare if
τε γὰρ θάνατον εἴπῃς, τὸ τῆς φύσεως ὄφλημα λέγεις·
both for death you-say the of-the nature debt you-tell
ὃ πάντως ὑπομεῖναι δεῖ καὶ μηδενὸς ἐπάγοντος·
which certainly to-endure (it-is)-needful even nobody bringing(-it)-on
ἄν τε ἐξορίαν εἴπῃς, οὐδὲν ἕτερον λέγεις ἢ χώραν,
if and exile you-say nothing other you-tell than (a)-country

καὶ τὰς πολλὰς πόλεις ὁρᾷν· ἄν τε χρημάτων δήμευσιν
and the many cities to-see if and of-money confiscation
εἴπῃς, ἐλευθερίαν λέγεις, καὶ τὸ εὔλυτον εἶναι.
you-say freedom you-tell and the unencumbered to-be
Μαρουθᾶν τὸν ἐπίσκοπον μὴ διαλείπῃς, τό γε εἰς
Maruthas the bishop do-not leave-off the at-least to
σὲ ἦκον, θεραπεύουσα, ὥστε ἀνιμήσασθαι τοῦ βαράθρου.
you coming tending so-as to-draw-up from-the pit
Μάλιστα γὰρ αὐτοῦ δέομαι διὰ τὰ ἐν Περσίδι.
most for him I-need because-of the(-things) in Persia
Καὶ μάθε παρ᾽ αὐτοῦ, ἂν δυνατόν σοι γένηται, τί
and learn from him if possible for-you it-be what
τε κατώρθωται ἐκεῖσε δι᾽ αὐτοῦ, καὶ τίνος ἕνεκεν
both has-been-achieved there through him and of-what for-the-sake
παραγέγονε, καὶ δήλωσον ἡμῖν, εἰ τὰς δύο ἐπιστολὰς,
he-has-come and show to-us if the two letters
ἃς ἔπεμψα αὐτῷ, ἀπέδωκας· κἂν μὲν βουληθείη ἡμῖν
which I-sent to-him you-delivered and-if indeed he-should-wish to-us
ἐπιστεῖλαι, πάλιν ἐπιστελοῦμεν αὐτῷ· ἂν δὲ μὴ βουληθείη,
to-write again we-will-write to-him if but not he-should-wish
κἂν τῇ εὐλαβείᾳ σου δηλώσῃ, εἴ τι γέγονεν αὐτόθι
at-least to-the piety your let-him-show if anything has-happened there
πλέον, καὶ εἰ μέλλοι τι κατορθοῦν πάλιν κατιών. Ἐγὼ
more and if he-is-about anything to-achieve again going-down I
γὰρ διὰ τοῦτο καὶ ἐσπούδαζον αὐτῷ συγγενέσθαι. Πλὴν
for for this also was-eager with-him to-meet except
πάντα τὰ παρὰ σοῦ γενέσθω, κἂν πάντες κατακέφαλα
all the(-things) from you let-be-done even-if all headlong
φέρωνται, τὰ σαυτῆς πλήρου. Ὁ γὰρ μισθός σου ἔσται
are-borne the(-things) of-yourself fulfill the for reward your will-be
ἀπηρτισμένος. Πάνυ οὖν αὐτὸν οἰκείωσαι, καὶ ὡς ἐγχωρεῖ.
complete very then him make-your-own and as is-possible

Παρακαλῶ, τοῦτο ὃ μέλλω λέγειν μὴ παραδράμῃς,
I-beseech(-you) this which I-am-about to-say do-not pass-over
ἀλλὰ πολλὴν περὶ αὐτοῦ ἐπίδειξαι σπουδήν. Ἐδήλωσάν μοι
but great about it show zeal showed to-me
οἱ μονάζοντες οἱ Μαρσεῖς, οἱ Γότθοι, ἔνθα ἀεὶ κέκρυπτο
the monks the Marsi the Goths where always had-hidden
Σεραπίων ὁ ἐπίσκοπος, ὅτι Μοδουάριος ἦλθεν ὁ διάκονος
Serapion the bishop that Moduarius has-come the deacon
ἀπαγγέλλων, ὅτι Οὐνίλας ὁ ἐπίσκοπος ὁ θαυμάσιος
announcing that Unilas the bishop the wonderful
ἐκεῖνος, ὃν πρώην ἐχειροτόνησα καὶ ἔπεμψα εἰς Γοτθίαν,
that whom lately I-ordained and sent into Gothia
πολλὰ καὶ μεγάλα κατορθώσας ἐκοιμήθη· καὶ ἦλθε φέρων
many and great(-things) having-achieved has-fallen-asleep and he-came bearing
γράμματα τοῦ ῥηγὸς τῶν Γότθων ἀξιοῦντα πεμφθῆναι
letters of-the king of-the Goths asking to-be-sent
αὐτοῖς ἐπίσκοπον. Ἐπεὶ οὖν οὐδὲν ἄλλο ὁρῶ πρὸς τὴν
to-them (a)-bishop since then nothing else I-see against the
ἀπειλουμένην καταστροφὴν συντελοῦν εἰς διόρθωσιν, ἢ
threatened overthrow contributing toward correction than
μέλλησιν καὶ ἀναβολὴν (οὐδὲ γὰρ δυνατὸν αὐτοῖς πλεῦσαι
delay and postponement nor for (is)-possible for-them to-sail
εἰς τὸν Βόσπορον νῦν, οὐδὲ εἰς τὰ μέρη ἐκεῖνα), ὑπερθέσθαι
into the Bosporus now nor into the parts those to-defer
τέως αὐτοὺς διὰ τὸν χειμῶνα παρασκεύασον· ἀλλὰ
for-the-while them because-of the winter arrange(-it) but
μὴ ἁπλῶς αὐτὸ παραδράμῃς· κατόρθωμα γάρ ἐστι
do-not simply it pass-over (an)-achievement for it-is
μέγιστον. Δύο γάρ ἐστιν ἃ μάλιστά με λυπεῖ εἰ
very-great two for are(-the-things) which most me grieve if
γένοιτο, ὃ μὴ γένοιτο, τό τε παρὰ τούτων μέλλειν
it-should-happen which not may-it-happen the both from these to-be-about

γίνεσθαι, τῶν τοσαῦτα κακὰ ἐργασαμένων, καὶ παρ᾽ ὧν
to-happen those so-many evils having-wrought and from whom
οὐ θέμις, τό τε ἁπλῶς τινα γενέσθαι. Ὅτι γὰρ οὐ
not (it-is)-lawful the both at-random someone to-be-made that for not
σπουδάζουσί τινα γενναῖον ποιῆσαι, οἶσθα καὶ αὐτή. Εἰ δὲ
they-are-eager anyone noble to-make you-know also yourself if and
τοῦτο γένοιτο, ὃ μὴ γένοιτο, τὰ ἑξῆς ἐπίστασαι. Ἵν᾽
this should-happen which not may-it-happen the(-things) next you-understand that
οὖν μηδὲν τούτων γένηται, πᾶσαν σπουδὴν ποίησαι· ἀψοφητὶ
then none of-these happen all zeal make noiselessly
δὲ εἰ δυνατὸν ἦν καὶ λανθανόντως τὸν Μοδουάριον
and if possible it-were and secretly — Moduarius
πρὸς ἡμᾶς ἐκδραμεῖν, μέγιστα ἂν ἠνύετο.
to us to-run-out very-great(-things) — would-be-accomplished
Εἰ δὲ μὴ δυνατὸν, ἐκ τῶν ἐγχωρούντων τὰ δυνατὰ
if but not (it-is)-possible from the(-things) allowable the possible(-things)
γινέσθω. Ὅπερ γὰρ ἐπὶ τῶν χρημάτων γίνεται,
let-be-done what for in-the-case-of the money happens
καὶ ἐπὶ τῆς χήρας συνέβη, τοῦτο καὶ ἐπὶ τῶν
also in-the-case-of the widow happened this also in-the-case-of the
πραγμάτων. Ὥσπερ γὰρ ἐκείνη δύο ὀβολοὺς καταβαλοῦσα,
affairs as for she two obols having-thrown-in
ἅπαντας ὑπερηκόντισε τοὺς πλείονα καταβαλόντας, τὴν
all outshot those more having-thrown-in the
οὐσίαν πᾶσαν κενώσασα· οὕτω καὶ οἱ εἰς τὰ πράγματα
substance all having-emptied so also those for the affairs
πάσῃ δυνάμει σπουδάζοντες, τὸ πᾶν ἐπλήρωσαν, τό γε
with-all power being-eager the whole fulfilled the at-least
εἰς αὐτοὺς ἦκον, κἂν μηδὲν γένηται πλέον, καὶ τὸν μισθὸν
to them coming even-if nothing happen more also the reward
ἀπηρτισμένον ἔχουσιν. Ἱλαρίῳ τῷ ἐπισκόπῳ πολλὰς ἔχω
complete they-have to-Hilarius the bishop many I-have

χάριτας· ἔγραψε γάρ μοι ἀξιῶν ἐπιτραπῆναι ἀπελθεῖν εἰς
thanks he-wrote for to-me asking to-be-permitted to-go-away to
τὴν αὐτοῦ, καὶ διορθῶσαι τὰ αὐτόθι, καὶ πάλιν
the(-land) his and to-set-right the(-things) there and again
παραγενέσθαι. Ἐπεὶ οὖν πολλὰ ὠφελεῖ ἡ παρουσία αὐτοῦ
to-come-back since then much benefits the presence his
(καὶ γὰρ εὐλαβής ἐστι, καὶ ἀνὴρ ἀπερίτρεπτος, καὶ
and for devout he-is and (a)-man unshakable and
ζέων), παρεκάλεσα αὐτὸν ἀπελθόντα ταχέως ἐπανελθεῖν.
fervent I-entreated him having-gone-away quickly to-return
Ποίησον τοίνυν τὴν ἐπιστολὴν ταχέως καὶ ἀσφαλῶς
make therefore the letter quickly and safely
αὐτῷ ἀποδοθῆναι καὶ μὴ παραῤῥιφῆναι· καὶ γὰρ μετὰ
to-him to-be-delivered and not to-be-cast-aside and for with
πολλῆς ἐπιθυμίας καὶ σφοδρότητος ἀπῄτησε τὰ παρ᾽
much desire and vehemence he-demanded the from
ἡμῶν γράμματα, καὶ πολὺ ὠφελεῖ ἡ παρουσία αὐτοῦ.
us letters and much benefits the presence his
Πάνυ οὖν φρόντισον τὰς ἐπιστολάς· εἰ μὴ παρείη αὐτόθι
very then take-care-of the letters if not be-present there
Ἑλλάδιος ὁ πρεσβύτερος, διά τινος ἀνθρώπου συνετοῦ,
Helladius the presbyter through some man prudent
ἐγκέφαλον ἔχοντος, ποίησον ἀποδοθῆναι τοῖς φίλοις.
(a)-brain having cause(-them) to-be-delivered to-the friends

THE FIFTEENTH LETTER: VIRTUE IS ALLOTTED TOIL

Olympias, who has fought the powers of darkness, could not have hoped for a quiet life, for toil and danger go with virtue. Chrysostom writes briefly, since no one brings help to a victor, only praise. He is recovering, but famine and plague loom and robbers cut the roads, so she must send no one to him specially; let her write by travelers who come on other business.

1 Σὺ δέ μοι προσεδόκησας, τοσαύτην ἐκ νεότητός σου
you but for-me did-expect so-great from youth your
ἐπιδειξαμένη φιλοσοφίαν, καὶ τὸν ἀνθρώπινον καταπατήσασα
having-shown philosophy and the human having-trampled
τῦφον, ἀτάραχόν τινα καὶ ἀπόλεμον ζήσεσθαι βίον; Καὶ
pride untroubled some and warless to-live life and
πῶς ἔνι τοῦτο; Εἰ γὰρ ἀνθρώποις ἄνθρωποι
how is-it-possible this if for with-men men
πυκτεύοντες, μυρία καὶ ἐν ἀγῶσι καὶ ἐν πολέμοις δέχονται
boxing countless both in contests and in wars receive
τραύματα, ἡ πρὸς αὐτὰς ἀποδυσαμένη τὰς ἀρχὰς,
wounds you(-who) against very having-stripped the principalities
καὶ τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους
and the powers against the world-rulers of-the darkness
τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας,
of-the age this against the spiritual(-hosts) of-the wickedness
καὶ ἀποδυσαμένη γενναίως οὕτως, καὶ τοσαῦτα στήσασα
and having-stripped nobly so and so-many having-set-up
τρόπαια, καὶ διὰ τοσούτων λυπήσασα τὸν ἄγριον ἐκεῖνον
trophies and through so-many having-grieved the savage that
καὶ ἀλάστορα δαίμονα, πόθεν ἤλπισας ἡσύχιόν τινα καὶ
and avenging demon whence did-you-hope quiet some and
ἀπράγμονα βιώσεσθαι βίον; Οὐ τοίνυν διὰ τοῦτο θορυβεῖσθαι
untroubled to-live life not therefore for this to-be-alarmed

χρὴ, ὅτι πολλοὶ πανταχόθεν οἱ πόλεμοι καὶ θόρυβοι,
(it-is)-right that many from-every-side (are)-the wars and alarms
καὶ πολλαὶ αἱ ταραχαί· ἀλλὰ τοὐναντίον, εἰ μηδὲν τούτων
and many the troubles but the-contrary if none of-these
συμβεβήκει, τότε θαυμάσαι ἐχρῆν. Τῇ γὰρ ἀρετῇ
had-happened then to-wonder (it-would-have-been)-right to-the for virtue
συγκεκλήρωται πόνος, καὶ κίνδυνος. Καὶ ταῦτα οἶσθα καὶ
is-allotted toil and danger and these-things you-know even
πρὸ τῶν ἡμετέρων γραμμάτων αὐτὴ, καὶ οὐδὲν δεήσῃ
before the our letters you-yourself and nothing you-will-need
παρ᾽ ἑτέρων μανθάνειν· ἐπεὶ καὶ ἡμεῖς οὐκ ἀγνοοῦσαν
from others to-learn since also we not (one)-ignorant
διδάσκοντες, ταῦτα ἐπιστέλλομεν. Ἴσμεν γὰρ, ὅτι οὔτε τὸ
teaching these-things write we-know for that neither the
πατρίδος ἐκπεσεῖν, οὔτε τὸ χρημάτων ὑπομεῖναι ζημίαν
from-fatherland to-fall nor the of-money to-endure loss
(τοῦτο δὴ τὸ πολλοῖς ἀφόρητον), οὐχ ὕβρις, οὐκ
this indeed the(-thing) for-many unbearable not insult not
ἄλλη τις τοιαύτη θλῖψις διαταράξαι σε δυνήσεται. Εἰ γὰρ
other any such affliction to-trouble you will-be-able if for
οἱ κοινωνοὶ τῶν ταῦτα πασχόντων γινόμενοι ζηλωτοὶ,
the sharers of-those these-things suffering having-become (are)-enviable
πολλῷ μᾶλλον οἱ ἐν αὐτοῖς ὄντες. Διὰ τοῦτο Παῦλος
far more those in them being for this(-reason) Paul
ἀφ᾽ ἑκατέρων τοὺς ἐξ Ἑβραίων πιστεύσαντας ἀνακηρύττει,
from both those from Hebrews having-believed proclaims
λέγων· Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς
saying remember the former days in which
φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων,
having-been-enlightened (a)-great contest you-endured of-sufferings
more-fearful to-be the death harms those suffering
ἀλλὰ καὶ ὠφελῇ μειζόνως, πόθεν ἔχεις μοι δεῖξαί
but even benefits more-greatly whence have-you to-me to-show
τινα ἀδικούμενον, ὅταν ἐντεῦθεν μηδὲν ἀδικῆται; Ἐγὼ
anyone wronged when from-here in-nothing he-is-wronged I
γὰρ τοὐναντίον ἀποδεῖξαι πειράσομαι, ὅτι οἱ μάλιστα
for the-contrary to-demonstrate will-try that those most
ἀδικούμενοι καὶ ἐπηρεαζόμενοι, καὶ τὰ ἀνήκεστα
wronged and abused and the incurable(-things)
πάσχοντες, οἱ ταῦτα ποιοῦντές εἰσι. Τί γὰρ ἀθλιώτερον
suffering those these-things doing are what for more-wretched
γένοιτ' ἂν τοῦ Κάϊν, τοῦ τοιαῦτα τὸν ἀδελφὸν διαθέντος;
could-be — — than-Cain the such-things the brother having-done(-to)

τί δὲ τῆς Φιλίππου γυναικὸς ἐλεεινότερον, τῆς τὸν
what and than-the of-Philip wife more-pitiable the(-one) —
Ἰωάννην ἀποτεμούσης; τί δὲ τῶν ἀδελφῶν τοῦ Ἰωσὴφ,
John having-beheaded what and than-the brothers — of-Joseph
τῶν ἀπεμπολησάντων αὐτὸν, καὶ πρὸς τὴν ὑπερορίαν
those having-sold him and to the exile
μεταστησάντων; τί δὲ τοῦ διαβόλου τοῦ τὸν Ἰὼβ
having-removed(-him) what and than-the devil the — Job
τοσούτοις καταξάναντος κακοῖς; Οὐ γὰρ δὴ μόνον τῶν
with-so-many having-torn evils not for indeed only than-the
ἄλλων, ἀλλὰ καὶ οὕτως οὐ τὴν τυχοῦσαν δώσει δίκην τῆς
others but also so not the ordinary will-he-pay penalty of-the
ἐπιβουλῆς. Εἶδες πῶς κἀνταῦθα πλείω τῆς ὑποσχέσεως
plot did-you-see how here-too more than-the promise
ὁ λόγος ἀπέδειξεν; οὐ μόνον οὐδεμίαν λύμην ἀπὸ τῶν
the word showed not only no ruin from the
ἐπιβούλων τούτων ὑπομένοντας τοὺς ἐπηρεαζομένους, ἀλλὰ
plotters these enduring those abused but
καὶ τὸ πᾶν εἰς τὴν τῶν ἐπιβουλευόντων περιτρεπόμενον
even the whole on the of-those plotting turned
κεφαλήν; Ἐπειδὴ γὰρ οὔτε πλοῦτος, οὔτε τὸ ἐλεύθερον
head since for neither wealth nor the free
εἶναι, οὔτε τὸ πατρίδα οἰκεῖν, οὔτε τὰ ἄλλα, ἅπερ
to-be nor the (a)-fatherland to-inhabit nor the other(-things) which
εἶπον, ἀνθρώπου εἰσὶν ἀρεταὶ, ἀλλὰ τῆς ψυχῆς τὰ
I-said of-man are virtues but of-the soul the
κατορθώματα· εἰκότως, ὅταν εἰς ταῦτα ἡ βλάβη γίνηται,
achievements fittingly when to these the harm happen
οὐδὲν ἡ ἀνθρωπίνη παραβλάπτεται ἀρετή. Τί οὖν, ἂν εἰς
in-nothing the human is-harmed virtue what then if to
αὐτήν τις παραβλαβῇ τῆς ψυχῆς τὴν φιλοσοφίαν; Οὐδὲ
it someone be-harmed of-the soul the philosophy not-even

ἐνταῦθα, ἂν βλαβῇ, παρ᾽ ἑτέρου βλάπτεται, ἀλλ᾽ οἴκοθεν
here if he-be-harmed by another is-he-harmed but from-home
καὶ παρ᾽ ἑαυτοῦ. Πῶς οἴκοθεν καὶ παρ᾽ ἑαυτοῦ, φησίν;
and from himself how from-home and from himself he-says
Ὅταν μαστιχθεὶς παρ᾽ ὁτουοῦν, ἢ τὰ ὄντα ἀφαιρεθεὶς,
when scourged by anyone-whatever or the possessions robbed-of
ἢ χαλεπήν τινα ἑτέραν ὑπομείνας ἐπήρειαν, βλάσφημόν
or grievous some other having-endured abuse blasphemous
τι ῥῆμα ἐξενεγκῇ, ἐβλάβη μὲν ἐνταῦθα, καὶ βλάβην
some word he-utter he-was-harmed indeed here and (a)-harm
μεγίστην, οὐ μὴν παρὰ τοῦ ἐπηρεάσαντος, ἀλλὰ παρὰ
very-great not however by the(-one) having-abused(-him) but by
τῆς οἰκείας μικροψυχίας. Ὅπερ γὰρ ἔμπροσθεν εἶπον, καὶ
the own smallness-of-soul what for before I-said also
νῦν ἐρῶ, οὐδεὶς ἀνθρώπων, κἂν μυριάκις ᾖ πονηρὸς,
now I-will-say no-one of-men even-if countless-times he-be wicked
τοῦ ἀλάστορος ἐκείνου δαίμονος καὶ ἀκαταλλάκτως
than-the avenging that demon and implacably
πρὸς ἡμᾶς ἔχοντος, τοῦ διαβόλου, πονηρότερον ἄν τινι
toward us disposed the devil more-wickedly — anyone
προσβάλοι, οὐδὲ πικρότερον· ἀλλ᾽ ὅμως ὁ χαλεπὸς
would-attack nor more-bitterly but nevertheless the grievous
οὗτος δαίμων οὐκ ἴσχυσε τὸν πρὸ τοῦ νόμου, τὸν
this demon not was-able the(-one) before the law the(-one)
πρὸ τῆς χάριτος, τοσαῦτα κατ᾽ αὐτοῦ βέλη καὶ οὕτω
before the grace so-many against him arrows and so
πικρὰ πανταχόθεν ἀφεὶς, ὑποσκελίσαι καὶ καταβαλεῖν.
bitter from-every-side having-let-go to-trip-up and to-throw-down
Τοσαύτη τῆς ψυχῆς ἐστιν ἡ εὐγένεια. Τί δὲ ὁ Παῦλος;
so-great of-the soul is the nobility what and — Paul
Οὐ τοσαῦτα ἔπαθε δεινὰ, ἃ μηδὲ καταλέξαι ῥᾴδιον;
not so-many did-he-suffer terrors which not-even to-enumerate (is)-easy

Δεσμωτήρια οἰκῶν, ἁλύσεις περικείμενος, ἀγόμενος καὶ
prisons inhabiting chains wearing led and
περιαγόμενος, μαστιγούμενος παρὰ Ἰουδαίων, λιθαζόμενος,
led-around scourged by Jews stoned
οὐχ ἱμάσι μόνοις, ἀλλὰ καὶ ῥάβδοις τὰ νῶτα ξαινόμενος,
not with-thongs only but also with-rods the back torn
καταποντιζόμενος, λῃσταῖς πολλάκις περιπίπτων, ἐμφύλιον
drowned by-robbers often falling-in-with civil
ὑπομένων πόλεμον, παρὰ τῶν ἐχθρῶν, παρὰ τῶν γνωρίμων
enduring war by the enemies by the acquaintances
βαλλόμενος διηνεκῶς, μυρίαις ἐπιβουλευόμενος ἐπιβουλαῖς,
pelted continually with-countless plotted-against plots
λιμῷ καὶ γυμνότητι παλαίων, ἑτέρας πυκνὰς καὶ συνεχεῖς
with-hunger and nakedness wrestling other frequent and continual
ὑπομένων περιστάσεις καὶ θλίψεις· καὶ τί δεῖ τὰ πολλὰ
enduring circumstances and afflictions and what need the many-things
λέγειν; καθ' ἑκάστην ἀποθνήσκων τὴν ἡμέραν· ἀλλ' ὅμως
to-say by each dying the day but nevertheless
τοσαῦτα πάσχων καὶ τηλικαῦτα, οὐ μόνον οὐδὲν ἐξήνεγκε
so-many suffering and so-great not only nothing he-uttered
ῥῆμα βλάσφημον, ἀλλ' ἔχαιρεν ἐπὶ τούτοις καὶ ἐκαυχᾶτο·
(a)-word blasphemous but he-rejoiced at these-things and boasted
καὶ νῦν μέν φησι· Χαίρω ἐν τοῖς παθήμασί μου· νῦν δὲ
and now indeed he-says I-rejoice in the sufferings my now and
πάλιν· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν.
again not only and but also we-boast in the afflictions
Εἰ τοίνυν τοσαῦτα πάσχων αὐτὸς ἔχαιρε, καὶ ἐκαυχᾶτο,
if therefore so-many suffering he rejoiced and boasted
τίνα ἕξεις συγγνώμην, ποίαν δὲ ἀπολογίαν σὺ οὐ
what will-you-have pardon what-kind and defense you not
τὸ πολλοστὸν αὐτῶν ὑπομένων μέρος, καὶ βλασφημῶν;
the hundredth of-them enduring part and blaspheming

Ἀλλ᾽ ἑτέρως ἀδικοῦμαι, φησὶ, κἂν μὴ βλασφημήσω, 6
but in-another-way I-am-wronged he-says even-if not I-blaspheme
τὰ χρήματα ἀφαιρεθεὶς ἄχρηστος γίνομαι πρὸς τὴν
the money robbed-of useless I-become for the
ἐλεημοσύνην, φησί. Σκῆψις ταῦτα καὶ πρόφασις. Εἰ
almsgiving he-says (an)-excuse (are)-these-things and (a)-pretext if
γὰρ διὰ τοῦτο ἀλγεῖς, μάθε σαφῶς, ὅτι πενία ἐλεημοσύνης
for for this you-grieve learn clearly that poverty to-almsgiving
οὐ γίνεται κώλυμα. Κἂν γὰρ μυριάκις εἶ πένης,
not becomes (a)-bindrance even-if for countless-times you-are poor
οὐκ εἶ πενέστερος τῆς δράκα ἀλεύρου μόνον
not you-are poorer than-the(-woman) (a)-handful of-meal only
κεκτημένης, καὶ τῆς δύο μόνον ἐχούσης ὀβολοὺς, ὧν
possessing and the(-woman) two only having obols of-whom
ἑκατέρα τὴν οὐσίαν ἅπασαν εἰς τοὺς δεομένους κενώσασα
each the substance all on those needing having-emptied
παραδόξως ἐθαυμάσθη· καὶ ἡ τοσαύτη πενία τῇ τοσαύτῃ
paradoxically was-admired and the so-great poverty to-the so-great
φιλανθρωπίᾳ οὐ γέγονε κώλυμα, ἀλλ᾽ οὕτω δαψιλὴς καὶ
love-for-mankind not became (a)-bindrance but so abundant and
φιλότιμος ἡ ἐκ τῶν δύο λεπτῶν γέγονεν ἐλεημοσύνη, ὡς
munificent the from the two mites became almsgiving that
τοὺς πλουτοῦντας ἅπαντας ἀποκρύψαι, καὶ τοὺς πολλοὺς
those rich all to-hide and those many
στατῆρας καταβαλόντας ὑπερακοντίσαι τῷ πλούτῳ τῆς
staters having-thrown-in to-outshoot with-the wealth of-the
γνώμης καὶ τῇ περιουσίᾳ τῆς προθυμίας. Ὥστε οὐδὲ
mind and with-the abundance of-the eagerness so-that not-even
ἐνταῦθα ἠδίκησαι, ἀλλὰ καὶ μειζόνως ἐκέρδανας,
here have-you-been-wronged but even more-greatly you-gained
δι᾽ ὀλίγης εἰσφορᾶς τῶν τὰ πολλὰ καταθέντων
through small (a)-contribution than-those the many(-things) having-put-down

λαμπροτέρους λαβὼν τοὺς στεφάνους. Ἀλλ' ἐπειδὴ, κἂν
more-splendid having-taken the crowns but since even-if
μυριάκις ταῦτα εἴπωμεν, αἱ φιλοσώματοι ψυχαὶ καὶ
countless-times these-things we-say the body-loving souls and
τοῖς βιωτικοῖς ἡδέως ἐγκαλινδούμεναι, καὶ τοῖς παροῦσιν
in-the worldly(-things) gladly wallowing and in-the present
ἐνηδυπαθοῦσαι πράγμασιν, οὐκ ἂν ῥᾳδίως ἀνάσχοιντο τῶν
luxuriating things not — easily would-bear from-the
κατασηπομένων ἀνθῶν ἀποστῆναι (τοιαῦτα γὰρ τοῦ βίου
rotting flowers to-stand-off such for of-the life
τὰ φαιδρὰ τούτου), οὐδὲ τὰς σκιὰς ἀφεῖναι ἀνέχονται·
(are)-the bright(-things) this nor the shadows to-let-go do-they-endure
ἀλλ' οἱ μὲν ἐπιεικέστεροι κἀκείνων καὶ τούτων ἀντέχονται,
but the indeed more-reasonable both-those and these hold-to
οἱ δὲ ἐλεεινότεροι καὶ ἀθλιώτεροι ἐκ πλείονος μὲν
the but more-pitiable and more-wretched from greater indeed
ἐκείνων μοίρας, τούτων δὲ ἐξ ἐλάττονος σφόδρα· φέρε
of-those share of-these but from less very come
δὴ τὰ προσωπεῖα ἀφελόντες τὰ φαιδρὰ καὶ περιφανῆ
indeed the masks having-taken-off the bright and splendid
τῆς αἰσχρᾶς καὶ δυσειδοῦς τῶν πραγμάτων ὄψεως τούτων,
of-the shameful and ill-favored of-the things face of-these
δείξωμεν τῆς ἑταιριζομένης γυναικὸς τὴν βδελυγμίαν.
let-us-show of-the playing-the-harlot woman the loathsomeness
Τοιοῦτον γὰρ ἡ τοιαύτη ζωὴ, ἡ τρυφαῖς καὶ πλούτῳ
such for (is)-the such life the to-luxuries and wealth
καὶ δυναστείαις προσέχουσα· τὸ αἰσχρὸν καὶ δυσειδὲς καὶ
and powers attending the shameful and ill-favored and
πολλῆς βδελυγμίας γέμον, τὸ ἀηδὲς καὶ φορτικὸν καὶ
with-much loathsomeness full the disgusting and burdensome and
πικρίας ἐμπεπλησμένον. Καὶ γὰρ δὴ τοῦτο μάλιστά
with-bitterness filled and for indeed this most

ἐστι τὸ πάσης ἀποστεροῦν τοὺς ἁλόντας συγγνώμης,
is the(-thing) of-all depriving those caught pardon
ὅτι καὶ ἀηδίας καὶ πολλῆς τῆς πικρίας ἐμπεπλησμένος ὁ
that even with-disgust and much the bitterness filled the
βίος οὗτος, ποθεινός τε αὐτοῖς καὶ περισπούδαστός ἐστι,
life this desirable both to-them and much-sought-after is
καὶ μυρίων γέμων κακῶν, κινδύνων, αἱμάτων, κρημνῶν,
and with-countless full evils dangers bloodshed cliffs
σκοπέλων, καὶ φόνων, καὶ φόβων, καὶ τρόμων, καὶ φθόνου,
crags and murders and fears and tremblings and envy
καὶ βασκανίας, καὶ ἐπιβουλῆς, καὶ φροντίδος διηνεκοῦς
and malice and plotting and care continual
καὶ μερίμνης, καὶ κέρδος ἔχων οὐδὲν, οὐδὲ καρπὸν τῶν
and anxiety and gain having none nor fruit of-the
τοσούτων κακῶν οὐδένα φέρων, ἀλλ' ἢ κόλασιν καὶ
so-great evils none bearing but than punishment and
τιμωρίαν, καὶ τὸ διηνεκῶς βασανίζεσθαι. Καίπερ τοιοῦτος
vengeance and the continually to-be-tortured although such
ὢν, ζηλωτὸς εἶναι τοῖς πολλοῖς δοκεῖ καὶ περιμάχητος, ὃ
being enviable to-be to-the many it-seems and fought-over which
τῆς ἀνοίας τῶν ἁλισκομένων ἐστὶν, οὐ τῆς τοῦ πράγματος
of-the folly of-those caught is not of-the of-the thing
μακαριότητος. Ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ πρὸς μὲν τὰ
blessedness since also the children the small at indeed the
ἀθύρματα κέχηνε καὶ ἐπτόηται, τῶν δὲ τελείοις ἀνδράσι
toys gape and are-excited of-the but for-grown men
πρεπόντων πραγμάτων οὐδὲ αἴσθησιν λαβεῖν δύναιτ' ἄν.
fitting things not-even perception to-take could —
Ἀλλ' ἐκείνοις μὲν συγγνώμη διὰ τὸ τῆς ἡλικίας ἄωρον·
but for-those indeed (is)-pardon because-of the of-the age untimeliness

οὗτοι δὲ ἀπολογίας ἐκβέβληνται, ἐν ἡλικίᾳ τελείᾳ παιδικὴν
these but from-defense are-cast-out in age grown childish
ἔχοντες γνώμην, κἀκείνων ἀνοητότερον διακείμενοι.
having (a)-mind and-than-those more-foolishly disposed
Διὰ τί γὰρ ζηλωτὸν ὁ πλοῦτος, εἰπέ μοι; Καὶ γὰρ
for what for (is)-enviable the wealth tell me and for
ἀναγκαῖον ἐντεῦθεν προοιμιάσασθαι, ἐπειδὴ ὑγείας καὶ
(it-is)-necessary from-here to-make-a-prelude since than-health and
ζωῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐφημίας, καὶ χρηστῆς
life and the from the many praise and good
ὑπολήψεως, καὶ πατρίδος, καὶ οἰκείων, καὶ φίλων, καὶ
repute and fatherland and household and friends and
συγγενῶν, καὶ τῶν ἄλλων ἁπάντων τῶν τὸ χαλεπὸν
kinsmen and the other all of-those the grievous
τοῦτο νόσημα νενοσηκότων τιμιώτερον τοῖς πολλοῖς ἔδοξεν
this disease having-suffered more-precious to-the many it-seemed
εἶναι. Καὶ πρὸς αὐτὰς ἀνέβη λοιπὸν τὰς νεφέλας ἡ πυρά·
to-be and to very rose henceforth the clouds the pyre
καὶ γῆν καὶ θάλατταν ἡ κάμινος αὕτη κατέλαβε. Καὶ
and land and sea the furnace this seized and
ὁ μὲν σβεννύων τὴν φλόγα ταύτην οὐδείς· οἱ δὲ
the(-one) indeed quenching the flame this (is)-no-one those but
ἀνακαίοντες, ἅπαντες αὐτοί τε οἱ ἁλόντες ἤδη, οἵ τε
kindling(-it) all they both those caught already those and
μηδέπω ἁλόντες, ἵνα ἁλῶσι. Καὶ ἕκαστον ἴδοι τις
not-yet caught that they-may-be-caught and each could-see someone
ἂν, καὶ ἄνδρα καὶ γυναῖκα, καὶ οἰκέτην καὶ ἐλεύθερον, καὶ
— both man and woman and servant and free(-man) and
πλούσιον καὶ πένητα, κατὰ δύναμιν τὴν ἑαυτοῦ φορτία
rich and poor according-to (the)-power the his-own burdens
βαστάζοντα, τὰ τῇ φλογὶ ταύτῃ δι' ἡμέρας τε καὶ
carrying those to-the flame this by day both and

νυκτὸς πολλὴν παρέχοντα τὴν τροφήν· φορτία οὐ ξύλων,
night great furnishing the fuel burdens not of-wood
οὐδὲ φρυγάνων (οὐ γὰρ τοιαύτη ἡ φλὸξ), ἀλλὰ ψυχῶν
nor of-brushwood not for such (is)-the flame but of-souls
καὶ σωμάτων, ἀδικίας καὶ παρανομίας. Ἀπὸ γὰρ τούτων
and bodies of-injustice and lawlessness from for these
ἀνάπτεσθαι πέφυκεν αὕτη τῆς φλογὸς ἡ φύσις. Οἵ τε
to-be-kindled is-wont this of-the flame the nature the both
γὰρ πλουτοῦντες οὐδαμοῦ τῆς ἀτόπου ταύτης ἵστανται
for rich nowhere at-the absurd this stop
ἐπιθυμίας, κἂν ἅπασαν περιβάλωνται τὴν οἰκουμένην·
desire even-if all they-put-around(-themselves) the world
οἵ τε πένητες ἐπείγονται φθάσαι ἐκείνους, καὶ λύσσα τις
the and poor hasten to-overtake those and (a)-rage some
ἀνίατος καὶ μανία ἀκάθεκτος, καὶ νόσος ἀδιόρθωτος τὰς
incurable and (a)-madness unrestrainable and (a)-disease uncorrectable the
πάντων κατέχει ψυχάς. Καὶ πάντα ἔρωτα οὗτος νικήσας
of-all holds souls and every love this having-conquered
ὁ ἔρως καὶ παρωσάμενος ἐξέβαλε τῆς ψυχῆς. Καὶ οὔτε
the love and having-thrust(-aside) has-cast-out from-the soul and neither
φιλίας λόγος, οὔτε συγγενείας· καὶ τί λέγω φιλίας
of-friendship (is-there)-account nor of-kinship and why do-I-say friendship
καὶ συγγενείας; οὐ γυναικὸς καὶ παίδων, οὗ τί γένοιτ᾽
and kinship not of-wife and children than-which what could-be
ἂν ἀνδράσι ποθεινότερον; ἀλλὰ πάντα χαμαὶ ἔῤῥιπται
— for-men more-desirable but all-things on-the-ground have-been-thrown
καὶ καταπεπάτηται, τῆς ὠμῆς ταύτης καὶ ἀπανθρώπου
and trampled the cruel this and inhuman
δεσποίνης τῶν ἁλόντων τὰς ἁπάντων καταλαβούσης
mistress of-those caught the of-all having-seized
ψυχάς. Καὶ γὰρ ὡς δέσποινα τούτων ἀπάνθρωπος, καὶ ὡς
souls and for as (a)-mistress of-these inhuman and as

τύραννος ἀπηνὴς, καὶ ὡς βάρβαρος ὠμὴ, καὶ ὡς πόρνη
(a)-tyrant harsh and as (a)-barbarian cruel and as (a)-harlot
πάνδημος καὶ πολυτελὴς, καταισχύνει καὶ κατατείνει, καὶ
common and costly she-shames and strains and
μυρίοις κολάζει κινδύνοις τε καὶ τιμωρίαις τοὺς ἑλομένους
with-countless punishes dangers both and vengeances those having-chosen
δουλεύειν αὐτῇ· καὶ φοβερά τις οὖσα καὶ ἀμείλικτος,
to-be-slaves to-her and fearful some being and implacable
ἀγρία τε καὶ ἀπηνὴς, καὶ πρόσωπον ἔχουσα βαρβαρικὸν,
savage both and harsh and (a)-face having barbarian
μᾶλλον δὲ θηριῶδες, καὶ λύκου καὶ λέοντος ἀγριώτερον,
rather and beastly and than-wolf and lion more-savage
προσηνής τις εἶναι δοκεῖ, καὶ ποθεινὴ καὶ μέλιτος
gentle some to-be she-seems and desirable and than-honey
γλυκυτέρα τοῖς αἰχμαλωτισθεῖσιν ὑπ' αὐτῆς. Καὶ ξίφη καὶ
sweeter to-those taken-captive by her and swords and
ὅπλα καθ' ἑκάστην κατ' αὐτῶν χαλκεύουσα τὴν ἡμέραν,
weapons by each against them forging the day
καὶ βάραθρα ἀνορύττουσα, καὶ ἐπὶ κρημνοὺς ἄγουσα καὶ
and pits digging and to cliffs leading and
σκοπέλους, καὶ μυρία αὐτοῖς πλέκουσα κολάσεως δίκτυα,
crags and countless for-them weaving of-punishment nets
ζηλωτοὺς αὐτοὺς νομίζεται ποιεῖν τοῖς τε ἑαλωκόσιν
enviable them she-is-thought to-make to-those both caught
αὐτοῖς, τοῖς τε ἐπιθυμοῦσιν ἁλῶναι. Καὶ καθάπερ ὗς
themselves to-those and desiring to-be-caught and as (a)-sow
ἀμάρᾳ καὶ βορβόρῳ ἐγκαλινδουμένη ἥδεται καὶ τρυφᾷ,
in-(a)-ditch and mire wallowing takes-pleasure and luxuriates
καὶ κάνθαροι κόπρον συνεχῶς ἀνελίττοντες· οὕτω δὴ
and beetles dung continually rolling-up so indeed
καὶ οἱ τῇ φιλαργυρίᾳ ἁλόντες τῶν ζώων τούτων εἰσὶν
also those by-the love-of-money caught than-the animals these are

ἀθλιώτεροι. Καὶ γὰρ μείζων ἡ ἐνταῦθα βδελυγμία,
more-wretched and for greater (is)-the here loathsomeness
καὶ ὁ βόρβορος δυσωδέστερος· ἐνδιατρίβοντες γὰρ τῷ
and the mire more-foul-smelling lingering for in-the
πάθει, πολλὴν νομίζουσιν ἡδονὴν ἐντεῦθεν καρποῦσθαι·
passion great they-think pleasure from-here to-reap
ὅπερ οὐ τῆς φύσεως τοῦ πράγματός ἐστιν, ἀλλὰ τῆς
which not of-the nature of-the thing is but of-the
τὴν τοιαύτην ἀλογίαν νοσούσης διανοίας. Τοῦτο δὲ τῆς
the such irrationality being-sick mind this and than-the
ἀλογίας ἐκείνων χεῖρον. Ὥσπερ οὖν ἐπὶ τοῦ βορβόρου
irrationality of-those (is)-worse as then in-the-case-of the mire
καὶ τῆς κόπρου, οὐ τοῦ βορβόρου καὶ τῆς κόπρου τὸ
and the dung not of-the mire and the dung (is)-the
αἴτιον, ἀλλὰ τῆς ἀλογίας τῶν ἐμπεπτωκότων ζώων· οὕτω
cause but of-the irrationality of-the fallen-in animals so
καὶ ἐπὶ τῶν ἀνθρώπων λογίζου.
also in-the-case-of the men reckon

Καὶ πῶς ἂν ἰασαίμεθα τοὺς οὕτω διακειμένους; Εἰ 7
and how — could-we-heal those so disposed if
βουληθείησαν ἡμῖν ἀνοῖξαι τὰς ἀκοὰς, καὶ ἁπλῶσαι τὴν
they-should-wish to-us to-open the ears and to-unfold the
διάνοιαν, καὶ δέξασθαι τὰ λεγόμενα. Τὰ μὲν γὰρ
mind and to-receive the(-things) said the indeed for
ἄλογα μεταθεῖναι τῆς ἀκαθάρτου διατριβῆς καὶ
irrational(-animals) to-remove from-the unclean haunt and
ἀπαγαγεῖν οὐκ ἔνι· λογισμοῦ γάρ ἐστιν ἔρημα· τὸ
to-lead-away not it-is-possible of-reason for they-are destitute the
δὲ ἡμερώτατον τοῦτο γένος, καὶ λογισμῷ καὶ λόγῳ
but gentlest this race and with-reason and speech
τετιμημένον, τὴν ἀνθρωπείαν λέγω φύσιν, εἰ βουληθείη,
honored the human I-mean nature if it-should-wish

ῥᾴδιόν τε καὶ σφόδρα εὔκολον καὶ τοῦ βορβόρου καὶ τῆς
easy both and very simple both from-the mire and the
δυσωδίας, καὶ τῆς κόπρου καὶ τῆς βδελυγμίας ἀπαλλάξαι
stench and the dung and the loathsomeness to-free
ἐκείνης. Διὰ τί γὰρ ὁ πλοῦτος, ἄνθρωπε, περισπούδαστος
that for what for the wealth O-man much-sought-after
εἶναί σοι δοκεῖ; Διὰ τὴν ἡδονὴν πάντως τὴν ἀπὸ
to-be to-you seems for the pleasure certainly the from
τῶν τραπεζῶν; διὰ τὴν τιμὴν, καὶ τὴν δορυφορίαν τὴν
the tables for the honor and the escort the
ἀπὸ τῶν διὰ τοῦτον θεραπευόντων; διὰ τὸ δύνασθαι
from those because-of it serving(-you) for the to-be-able
τοὺς λυποῦντας ἀμύνασθαι, καὶ πᾶσιν εἶναι φοβερόν;
those grieving(-you) to-avenge-yourself-on and to-all to-be fearful
Οὐδὲ γὰρ ἂν ἑτέρας αἰτίας ἔχοις εἰπεῖν, ἀλλ' ἢ
nor for — other causes could-you-have to-tell but than
ἡδονὴν, καὶ κολακείαν, καὶ φόβον, καὶ τιμωρίαν· οὔτε
pleasure and flattery and fear and punishment neither
γὰρ σοφώτερον, οὔτε σωφρονέστερον, οὔτε ἐπιεικέστερον,
for wiser nor more-temperate nor more-reasonable
οὔτε συνετώτερον πάντως ὁ πλοῦτος ποιεῖν εἴωθεν, οὐ
nor more-understanding certainly the wealth to-make is-wont not
χρηστὸν, οὐ φιλάνθρωπον, οὐκ ὀργῆς κρείττονα, οὐ
good not loving-mankind not than-wrath stronger not
γαστρὸς ἀμείνω, οὐχ ἡδονῶν ἀνώτερον· οὐ μετριάζειν
than-the-belly better not than-pleasures higher not to-be-moderate
παιδεύει, οὐ συνεστάλθαι διδάσκει, οὐκ ἄλλο τι μέρος
it-trains not to-be-restrained it-teaches not other any part
τῆς ἀρετῆς εἰς τὴν ψυχὴν εἰσάγει καὶ καταφυτεύει. Οὐδ'
of-the virtue into the soul it-brings and plants nor
ἂν ἔχοις εἰπεῖν διὰ τί τούτων περισπούδαστός
— could-you-have to-tell for which of-these much-sought-after

ἐστί σοι καὶ ποθεινὸς οὗτος. Οὐ γὰρ δὴ μόνον οὐδὲν
is to-you and desirable this not for indeed only nothing
οἶδε φυτεύειν ἢ γεωργεῖν τῶν ἀγαθῶν, ἀλλὰ κἂν
it-knows to-plant or to-cultivate of-the goods but even-if
ἀποκείμενα εὕρῃ, λυμαίνεται καὶ κωλύει καὶ καταμαραίνει·
laid-up it-find it-ruins and hinders and withers
ἔνια δὲ καὶ ἀνασπᾷ, καὶ τὰ ἐναντία τούτων ἐπεισάγει,
some and also it-uproots and the opposite of-these brings-in
ἀκολασίαν ἄμετρον, θυμὸν ἄκαιρον, ὀργὴν ἄδικον, ἀπόνοιαν,
licentiousness immoderate wrath untimely anger unjust desperation
ὑπερηφανίαν, ἄνοιαν. Ἀλλὰ μὴ εἴπω περὶ τούτων· οἱ
arrogance folly but let-me-not speak about these those
γὰρ τῇ νόσῳ ταύτῃ ἑαλωκότες οὐκ ἂν ἀνάσχοιντο περὶ
for by-the disease this caught not — would-bear about
ἀρετῆς καὶ κακίας ἀκούοντες, τῆς ἡδονῆς ὄντες ὅλοι, καὶ
virtue and wickedness hearing of-the pleasure being wholly and
διὰ τοῦτο αὐτῆς γινόμενοι δοῦλοι, κατηγορουμένων αὐτῶν
for this its becoming slaves accused them
ὁμοῦ καὶ ἐλεγχομένων ἰδεῖν. Φέρε οὖν τέως τὸν
at-the-same-time and refuted to-see come then for-the-while the
περὶ τούτων λόγον ἀφέντες, τὰ λοιπὰ εἰς μέσον
about these word having-let-go the remaining(-things) into (the)-midst
ἀγάγωμεν, καὶ ἴδωμεν, εἴ τινα ἡδονὴν ὁ πλοῦτος ἔχει, εἴ
let-us-bring and let-us-see if any pleasure the wealth has if
τινα τιμήν· τοὐναντίον γὰρ ἅπαν ὁρῶ. Καὶ εἰ βούλεσθε,
any honor the-contrary for all I-see and if you-wish
πρῶτον τὰς τραπέζας τῶν πλουτούντων καὶ πενομένων
first the tables of-the rich and poor
ἐξετάζωμεν, καὶ ἐρώμεθα τοὺς ἑστιωμένους, τίνες μάλιστά
let-us-examine and let-us-ask those feasting who most
εἰσιν οἱ καθαρὰν καὶ γνησίαν καρπούμενοι ἡδονήν;
are those pure and genuine reaping pleasure

οἱ πρὸς διαμεμετρημένην τὴν ἡμέραν ἐπὶ τῶν στιβάδων
those till measured-out the day on the couches
κατακείμενοι, καὶ τὰ δεῖπνα τοῖς ἀρίστοις συνάπτοντες, καὶ
reclining and the dinners to-the breakfasts joining and
τὴν γαστέρα διαῤῥηγνύντες, καὶ τὰς αἰσθήσεις πηροῦντες,
the belly bursting and the senses maiming
καὶ τῷ ὑπερόγκῳ τῶν ἐδεσμάτων φορτίῳ τὸ πλοῖον
and with-the immense of-the foods burden the boat
καταποντίζοντες, καὶ ὑπέραντλον ποιοῦντες τὴν ναῦν, καὶ
sinking and water-logged making the ship and
καθάπερ ἐν ναυαγίῳ τῷ τοῦ σώματος κατακλύζοντες αὐτὴν,
as in (a)-shipwreck the of-the body flooding it
καὶ πέδας, καὶ χειροπέδας, καὶ γλωσσοπέδας ἐπινοοῦντες,
and fetters and handcuffs and tongue-fetters devising
καὶ ἅπαν αὐτῶν καταδεσμοῦντες τὸ σῶμα ἁλύσεως
and all their binding the body than-(a)-chain
σιδηρᾶς χαλεπωτέρῳ δεσμῷ τῷ τῆς μέθης καὶ τῆς
iron more-grievous with-(a)-bond the of-the drunkenness and the
τρυφῆς, καὶ μήτε ὕπνον αἱρούμενοι γνήσιον, εἰλικρινῆ, μήτε
luxury and neither sleep taking genuine pure nor
ὀνειράτων ἀπηλλαγμένοι φοβερῶν, τῶν τε μαινομένων
from-dreams freed fearful than-those both raging
ὄντες ἀθλιώτεροι, καὶ αὐθαίρετόν τινα δαίμονα ἐπεισάγοντες
being more-wretched and self-chosen some demon bringing-in
τῇ ψυχῇ, καὶ γέλως προκείμενοι τῷ θεάτρῳ τῶν
to-the soul and (a)-laughingstock set-before to-the theater of-the
οἰκετῶν, μᾶλλον δὲ καὶ τραγῳδία καὶ δακρύων ὑπόθεσις
servants rather and also (a)-tragedy and of-tears (an)-occasion
τοῖς ἐπιεικεστέροις αὐτῶν, καὶ μηδένα εἰδότες τῶν
to-the more-reasonable of-them and no-one knowing of-those
παρόντων, μήτε εἰπεῖν τι καὶ ἀκοῦσαι δυνάμενοι, ἀλλὰ
present neither to-say anything and to-hear being-able but

φοράδην ἀπὸ τῶν στιβάδων ἐπὶ τὴν κλίνην ἀγόμενοι, ἢ οἱ
carried from the couches to the bed led or those
νήφοντες καὶ οἱ ἐγρηγορότες, καὶ τῇ χρείᾳ τὸ μέτρον
being-sober and those being-awake and by-the need the measure
ὁρίζοντες, καὶ ἐξ οὐρίας πλέοντες, καὶ μέγιστον ἥδυσμα
fixing and with (a)-fair-wind sailing and (as)-greatest seasoning
τὸ πεινῆν καὶ διψῆν ἔχοντες ἐπί τε τῶν σιτίων, ἐπί
the to-be-hungry and to-be-thirsty having at both the foods at
τε τῶν ποτῶν; Οὐδὲν γὰρ οὕτω καὶ ἡδονὴν καὶ ὑγίειαν
and the drinks nothing for so both pleasure and health
ἐργάζεται, ὡς τὸ πεινῶντα καὶ διψῶντα οὕτω τῶν
works as the hungry and thirsty so the(-things)
προκειμένων ἅπτεσθαι, καὶ κόρον εἰδέναι τὴν χρείαν
set-before(-one) to-touch and satiety to-know the need
μόνην, καὶ μὴ ὑπερβαίνειν ταύτης τὰ σκάμματα, μηδὲ
alone and not to-exceed its the bounds nor
μεῖζον τῆς δυνάμεως ἐπιτιθέναι τὸ ἄχθος τῷ σώματι.
greater than-the power to-lay the burden on-the body
Εἰ δὲ ἀπιστεῖς μου τῷ λόγῳ, κατάμαθε τὰ ἑκατέρων 8
if but you-disbelieve my the word learn the of-both
σώματα, καὶ τὴν ἑκάστου ψυχήν. Οὐχὶ τὰ μὲν
bodies and the of-each soul (are)-not the(-bodies) indeed
τῶν οὕτω διαιτωμένων συμμέτρως (μὴ γάρ μοι τὸ
of-those so living in-measure do-not for to-me the
σπανιάκις συμβαῖνον εἴπῃς, καὶ εἴ τινες ἀσθενεῖς εἶεν
rarely happening tell and if some weak be
ἐκ περιστάσεως ἑτέρας τινός, ἀλλ' ἀπὸ τῶν ἀεὶ καὶ
from circumstance other some but from the(-things) always and
συνεχῶς συμβαινόντων τὰς ψήφους λάμβανε), οὐχὶ τῶν
continually happening the verdicts take (are)-not of-those
μὲν συμμέτρως ἑστιωμένων εὔρωστα τὰ σώματα, καὶ
indeed in-measure feasting robust the bodies and

τετρανωμέναι αἱ αἰσθήσεις, τὴν οἰκείαν χρείαν πληροῦσαι
clear the senses the own need fulfilling
μετὰ πολλῆς τῆς εὐκολίας; ἐκείνων δὲ πλαδαρὰ καὶ παντὸς
with much the ease of-those but flabby and than-all
κηροῦ μαλακώτερα, καὶ ἑσμῷ νοσημάτων πολιορκούμενα;
wax softer and by-a-swarm of-diseases besieged
Καὶ γὰρ καὶ ποδάγραι ταχέως αὐτοῖς ἐφίπτανται, καὶ
and for also gouts quickly on-them fly and
τρόμος ἄκαιρος, καὶ γῆρας ἄωρον, καὶ κεφαλαλγίαι, καὶ
trembling untimely and old-age premature and headaches and
διατάσεις, καὶ στομάχων πηρώσεις, καὶ ὀρέξεως ἀναίρεσις,
distensions and of-stomachs maimings and of-appetite (the)-destruction
καὶ διηνεκῶν δέονται ἰατρῶν, καὶ συνεχῶν τῶν φαρμάκων,
and continual they-need physicians and continual the medicines
καὶ καθημερινῆς τῆς θεραπείας. Ταῦτα οὖν ἡδονῆς;
and daily the care these-things then (are)-of-pleasure
εἰπέ μοι. Καὶ τίς ἂν εἴποι τῶν εἰδότων ὅ τι ποτέ
tell me and who — would-say of-those knowing what — ever
ἐστιν ἡδονή; Ἡδονὴ γὰρ γίνεται τότε, ὅταν ἐπιθυμίας
is pleasure pleasure for comes-about then when desire
ἡγουμένης ἀπόλαυσις ἕπηται· ἂν δὲ ἀπόλαυσις μὲν ᾖ,
leading enjoyment follows if but enjoyment indeed be
ἐπιθυμία δὲ μηδαμοῦ φαίνηται, τὰ τῆς ἡδονῆς οἴχεται
desire but nowhere appear the(-things) of-the pleasure are-gone
καὶ ἠφάνισται. Διά τοι τοῦτο καὶ οἱ νοσοῦντες καίτοι
and have-vanished for surely this(-reason) also the sick although
σιτίων περισπουδάστων αὐτοῖς προκειμένων, ναυτιῶντες,
foods much-sought-after to-them set-before(-them) nauseated
καὶ ἐνοχλεῖσθαι δοκοῦντες, οὕτως αὐτῶν ἀπογεύονται·
and troubled seeming so them taste
ἐπειδὴ ἐπιθυμία οὐκ ἔστιν, ἡ τὴν ἀπόλαυσιν ἡδίστην
since desire not is the(-thing) the enjoyment most-pleasant

ποιοῦσα. Οὔτε γὰρ ἡ τῶν σιτίων φύσις, οὔτε ἡ τῶν
making neither for the of-the foods nature nor the of-the
ποτῶν, ἀλλ' ἡ τῶν ἑστιωμένων ὄρεξις τὴν ἐπιθυμίαν
drinks but the of-those feasting appetite the desire
τίκτειν εἴωθε, καὶ τὴν ἡδονὴν ἐργάζεσθαι πέφυκε. Διὰ
to-beget is-wont and the pleasure to-work is-natural for
τοῦτο καί τις σοφὸς ἀνὴρ, τὰ περὶ τῆς ἡδονῆς
this(-reason) also (a)-certain wise man the(-things) about the pleasure
ἀκριβῶς εἰδὼς, καὶ φιλοσοφεῖν περὶ τούτων ἐπιστάμενος,
exactly knowing and to-philosophize about these understanding
ἔλεγε· Ψυχὴ ἐμπεπλησμένη κηρίοις ἐμπαίζει· δεικνὺς
said (a)-soul filled with-honeycombs mocks(-them) showing
ὅτι οὐκ ἐν τῇ φύσει τῆς τραπέζης, ἀλλ' ἐν τῇ διαθέσει
that not in the nature of-the table but in the disposition
τῶν ἑστιωμένων τὰ τῆς ἡδονῆς ἕστηκε. Διὰ τοῦτο
of-those feasting the(-things) of-the pleasure stand for this(-reason)
καὶ ὁ προφήτης τὰ ἐν Αἰγύπτῳ θαύματα καὶ τὰ ἐν
also the prophet the in Egypt wonders and the(-ones) in
τῇ ἐρήμῳ καταλέγων, μετὰ τῶν ἄλλων καὶ τοῦτο εἴρηκεν,
the desert enumerating with the others also this has-said
ὅτι Ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. Καίτοι γε
that from (the)-rock with-honey be-satisfied them and-yet at-least
οὐδαμοῦ μέλι φαίνεται πέτρα αὐτοῖς ἀναβλύσασα· τί οὖν
nowhere honey appears (the)-rock to-them having-gushed what then
ἐστι τὸ εἰρημένον; Ἐπειδὴ πολλῷ κατειργασμένοι τῷ
is the(-thing) said since with-great worn-out the
καμάτῳ καὶ τῇ ὁδοιπορίᾳ, καὶ σφοδρῷ κατεχόμενοι τῷ
toil and the journey and by-violent held the
δίψει ψυχροῖς τοῖς νάμασι προσέπιπτον, ἀντὶ ἡδύσματος
thirst on-the-cold the streams they-fell instead-of (a)-seasoning
μεγάλου τὸ διψῆν ἔχοντες, τὴν ἡδονὴν τῶν νεμάτων
great the to-be-thirsty having the pleasure of-the streams

ἐκείνων παραστῆναι βουλόμενος, μέλι τὸ ὕδωρ ἐκάλεσεν,
those to-set-forth wishing honey the water he-called
οὐχ ὡς τῆς φύσεως εἰς μέλι μεταβληθείσης, ἀλλ' ὡς τῆς
not as the nature into honey having-been-changed but as the
ἡδονῆς τοῦ ὕδατος ἀμιλλωμένης ἐκείνῃ τῇ γλυκύτητι, διὰ
pleasure of-the water rivaling that the sweetness because-of
τὸ διψῶντας τότε προσπεσεῖν τοὺς ἀπολελαυκότας αὐτοῦ.
the thirsty then to-fall-upon(-it) those having-enjoyed it
Ὅταν τοίνυν ταῦτα τοῦτον ἔχῃ τὸν τρόπον, καὶ μηδεὶς
when therefore these-things this have the way and no-one
ἀντιλέγειν δύνηται, κἂν σφόδρα ἀναίσθητος ᾖ· οὐκ
to-gainsay can even-if very insensible he-be (is-it)-not
εὔδηλον ὅτι παρὰ ταῖς τῶν πενήτων τραπέζαις ἡ καθαρὰ
clear that at the of-the poor tables (is)-the pure
καὶ εἰλικρινὴς καὶ σφοδρὰ ἡδονή; ἐν δὲ ταῖς τῶν πλουσίων
and genuine and intense pleasure in but the of-the rich
ἀηδία, καὶ βδελυγμία, καὶ μολυσμός; καὶ καθὼς εἶπεν ὁ
disgust and loathsomeness and defilement and as said the
σοφὸς ἐκεῖνος ἀνὴρ, Καὶ τὰ ἡδέα παρενοχλεῖν δοκεῖ.
wise that man even the sweet(-things) to-annoy seem
9 Ἀλλὰ τιμᾶσθαι παρασκευάζει τοὺς ἔχοντας ὁ πλοῦτος,
but to-be-honored prepares those having(-it) the wealth
φησὶ, καὶ ἐχθροὺς ἀμύνασθαι μετ' εὐκολίας. Διὰ τοῦτο
he-says and enemies to-repel with ease for this
οὖν, εἰπέ μοι, ποθεινὸς ὑμῖν καὶ περιμάχητος εἶναι δοκεῖ,
then tell me desirable to-you and fought-over to-be does-it-seem
ὅτι τὰ χαλεπώτατα ἐν ἡμῖν τρέφει πάθη, ὀργήν τε εἰς
that the most-grievous in us it-nourishes passions wrath both into
ἔργον ἐξάγων, καὶ τῆς δοξομανίας τὰς πομφόλυγας εἰς
deed bringing-out and of-the glory-madness the bubbles to
μείζονα ὄγκον ἐπαίρων, καὶ πρὸς ἀπόνοιαν ἀλείφων τε
greater bulk raising and to desperation anointing both

καὶ διεγείρων; Διὰ ταῦτα μὲν οὖν μάλιστα ἀμεταστρεπτὶ
and rousing for these-things indeed then most without-turning-back
φεύγειν αὐτὸν χρὴ, ὅτι θηρία τινὰ ἄγρια καὶ
to-flee it (it-is)-needful because beasts some savage and
χαλεπὰ εἰς τὴν διάνοιαν εἰσοικίζει τὴν ἡμετέραν, τῆς
grievous into the mind it-settles the our of-the
μὲν ὄντως τιμῆς τῆς παρὰ πάντων ἀποστερῶν, τὴν
indeed real honor the from all depriving(-us) the
δὲ ἐναντίαν ἐκείνης, τοῖς ἐκείνης χρώμασιν ἀναχρωννὺς,
but opposite of-that with-the of-that colors painting
καὶ οὕτω προσάγων τοῖς ἠπατημένοις, καὶ πείθων
and so bringing(-it) to-those deceived and persuading(-them)
ταύτην ἐκείνην εἶναι νομίζειν, οὐκ οὖσαν τῇ φύσει, ἀλλὰ
this that to-be to-think not being in-the nature but
τῇ ὄψει δοκοῦσαν εἶναι. Καθάπερ γὰρ τὰ κάλλη
in-the appearance seeming to-be as for the beauties
τῶν ἑταιριζομένων γυναικῶν ἐπιτρίμμασι καὶ ὑπογραφαῖς
of-the playing-the-harlot women of-rouges and paintings
συγκείμενα, κάλλους μὲν ἀπεστέρηται, τὴν δὲ αἰσχρὰν ὄψιν
composed of-beauty indeed are-deprived the but shameful face
καὶ δυσειδῆ καλήν τε καὶ εὐειδῆ εἶναι ποιεῖ παρὰ τοῖς
and ill-favored beautiful both and well-formed to-be makes to those
ὑπ᾽ αὐτῆς ἠπατημένοις, οὐκ οὖσαν καλήν· οὕτω δὴ καὶ ὁ
by it deceived not being beautiful so indeed also the
πλοῦτος τὴν κολακείαν βιαζόμενος τιμὴν δεικνύναι ποιεῖ.
wealth the flattery forcing honor to-appear makes(-it)
Μὴ γάρ μοι τὰς ἐν τῷ φανερῷ διὰ φόβον καὶ θωπείαν
do-not for to-me the in the open for fear and fawning
γινομένας εὐφημίας ἴδῃς· αὗται γάρ εἰσι τὰ χρώματα καὶ
happening praises look-at these for are the colors and
αἱ ὑπογραφαί· ἀλλὰ τὸ ἑκάστου συνειδὸς τῶν τὰ τοιαῦτά
the paintings but the of-each conscience of-those the such-things

σε κολακευόντων ἀνάπτυξον, καὶ ὄψει μυρίους ἔνδον
you flattering unfold and you-will-see countless within
καταβοῶντάς σου κατηγόρους, καὶ τῶν μάλιστα ἐχθρῶν
crying-out-against you accusers and than-the very enemies
καὶ πολεμίων μᾶλλον ἀποστρεφομένους καὶ μισοῦντας. Καὶ
and foes more turning-from(-you) and hating(-you) and
εἴ ποτε τὸ ἐκ τοῦ φόβου τούτου συγκείμενον προσωπεῖον
if ever the from the fear this composed mask
μεταβολὴ πραγμάτων ἐπελθοῦσα ἀφανίσειέ τε καὶ
(a)-change of-affairs having-come should-make-vanish both and
διελέγξειε, καθάπερ τὰς ὄψεις ἐκείνας ἥλιος θερμοτέραν
expose as the faces those (the)-sun hotter
ἀκτῖνα ἀφεὶς, τότε ὄψει καλῶς ὅτι παρὰ πάντα τὸν
(a)-ray letting-go then you-will-see well that through all the
ἔμπροσθεν χρόνον ἐν ἐσχάτῃ μὲν ἦς ἀτιμίᾳ παρὰ τοῖς
before time in utmost indeed you-were dishonor with those
θεραπεύουσι, τιμῆς δὲ ἐνόμιζες ἀπολαύειν ὑπὸ τῶν μάλιστα
serving(-you) honor but you-thought to-enjoy from those most
μισούντων σε, καὶ μυρίαις σε κατὰ διάνοιαν πλυνόντων
hating you and with-countless you in mind washing
λοιδορίαις, καὶ ἐν ἐσχάταις σε συμφοραῖς ἐπιθυμούντων
abuses and in utmost you calamities desiring
ἰδεῖν. Τιμὴν γὰρ οὐδὲν οὕτως εἴωθε ποιεῖν, ὡς ἀρετὴ,
to-see honor for nothing so is-wont to-make as virtue
τιμὴν οὐ κατηναγκασμένην, τιμὴν οὐ πεπλασμένην, οὐδὲ
honor not compelled honor not fabricated nor
προσωπείῳ τινὶ φενακισμοῦ κεκρυμμένην, ἀλλὰ ἀληθῆ καὶ
by-mask some of-deceit hidden but true and
γνησίαν, καὶ οὐδεμιᾷ καιρῶν δυσκολίᾳ ἐλεγχομένην.
genuine and by-no of-times difficulty refuted

Ἀλλ᾽ ἀμύνασθαι βούλει τοὺς λελυπηκότας; Καὶ δι᾽ 10
but to-avenge-yourself-on do-you-wish those having-grieved(-you) and for
αὐτὸ μὲν οὖν τοῦτο μάλιστα, καθάπερ ἔφθην εἰπὼν,
very indeed then this most as I-said-before saying
φευκτὸς ὁ πλοῦτος. Κατὰ γὰρ σαυτοῦ τὸ ξίφος ὠθεῖν
(is)-to-be-fled the wealth against for yourself the sword to-thrust
σε παρασκευάζει, καὶ βαρυτέρας τὰς ἐν τῷ μέλλοντί
you it-prepares and heavier the in the future
σοι καθίστησιν εὐθύνας, καὶ ἀφορήτους ποιεῖ τὰς
for-you it-makes accounts and unbearable makes the
τιμωρίας. Τοσοῦτον γὰρ κακὸν τὸ ἀμύνασθαι, ὅτι
punishments so-great for (an)-evil (is)-the to-avenge-oneself that
καὶ Θεοῦ φιλανθρωπίαν ἀνεκαλέσατο, καὶ δοθεῖσαν ἤδη
even of-God (the)-love-for-mankind it-recalled and given already
ἁμαρτημάτων ἀπείρων συγχώρησιν ἠκύρωσεν. Ὁ γὰρ
of-sins boundless (the)-forgiveness annulled he(-who) for
μυρίων λαβὼν ταλάντων τὴν ἄφεσιν, καὶ ἀπὸ ψιλῆς
of-countless having-received talents the remission and from mere
παρακλήσεως τοσαύτης ἀπολαύσας δωρεᾶς, ἐπειδὴ ἑκατὸν
entreaty so-great having-enjoyed (a)-gift since of-a-hundred
δηναρίων ἀπαίτησιν ἐποιεῖτο παρὰ τοῦ συνδούλου, τοῦτ᾽
denarii (a)-demand he-made from the fellow-servant that
ἔστιν, ἐπειδὴ τῶν εἰς αὐτὸν πλημμελημάτων ἀπῄτει
is since of-the against him offenses he-demanded
δίκας, ἐν τῇ περὶ τὸν ὁμόδουλον σφοδρότητι καθ᾽ ἑαυτοῦ
penalties in the toward the fellow-slave vehemence against himself
τὴν καταδίκην ἐξήνεγκε· καὶ δι᾽ ἕτερον μὲν οὐδὲν, διὰ
the condemnation brought-out and for another indeed nothing for
τοῦτο δὲ μόνον καὶ τοῖς βασανισταῖς παρεδίδοτο, καὶ
this but only also to-the torturers was-handed-over and
ἐστρεβλοῦτο, καὶ τὰ μυρία τάλαντα ἀπαιτεῖσθαι ἐκελεύετο·
was-racked and the countless talents to-be-demanded was-ordered

καὶ συγγνώμης οὐδεμιᾶς, οὐδὲ ἀπολογίας ἀπήλαυεν, ἀλλὰ τὰ
and of-pardon none nor of-defense enjoyed but the
ἀνήκεστα ἔπασχε. κελευσθεὶς ἅπαν καταθεῖναι τὸ χρέος,
incurable(-things) suffered ordered all to-pay-down the debt
ὃ προλαβοῦσα ἡ τοῦ Θεοῦ φιλανθρωπία συνεχώρησε. Διὰ
which anticipating the — of-God love-for-mankind had-forgiven for
τοῦτο οὖν, εἰπέ μοι, ὁ πλοῦτός σοι περισπούδαστος,
this then tell me (is)-the wealth to-you much-sought-after
ὅτι σε εἰς τοιαύτην ἁμαρτίαν μετ' εὐκολίας ἐξάγει;
because you into such sin with ease it-leads-out
Καὶ μὴν διὰ τοῦτο αὐτὸν ὡς ἐχθρὸν καὶ πολέμιον καὶ
and indeed for this it as (an)-enemy and foe and
μυρίων γέμοντα φόνων ἀποστρέφεσθαι δεῖ. Ἀλλ' ἡ
with-countless full murders to-turn-from (it-is)-needful but the
πενία, φησὶ, παρασκευάζει δυσχεραίνειν, καὶ πολλάκις καὶ
poverty he-says prepares(-one) to-be-vexed and often even
βλάσφημα ῥήματα ἐκβάλλειν καὶ ἀνελεύθερα πράγματα
blasphemous words to-throw-out and illiberal things
ὑπομένειν. Οὐχ ἡ πενία, ἀλλ' ἡ μικροψυχία· ἐπεὶ καὶ ὁ
to-endure not the poverty but the smallness-of-soul since also —
Λάζαρος πένης ἦν, καὶ σφόδρα γε πένης· καὶ τῇ πενίᾳ
Lazarus poor was and very at-least poor and to-the poverty
προσῆν καὶ ἀῤῥωστία πενίας ἁπάσης πικροτέρα, ἣ
was-added also sickness than-poverty all more-bitter which
καὶ τὴν πενίαν ταύτην χαλεπωτέραν ποιοῦσα· καὶ τῇ
also the poverty this more-grievous making and to-the
ἀῤῥωστίᾳ ἐρημία τῶν προστησομένων, καὶ ἀπορία τῶν
sickness (the)-desolation of-those going-to-protect(-him) and (the)-lack of-those
θεραπευόντων, ἥτις καὶ τὴν πενίαν καὶ τὴν ἀῤῥωστίαν
tending(-him) which also the poverty and the sickness
πικροτέραν εἰργάζετο. Τούτων γὰρ ἕκαστον καὶ καθ'
more-bitter made of-these for each also by

ἑαυτὸ μὲν ὀδυνηρὸν, ὅταν δὲ μηδὲ οἱ θεραπεύοντες
itself (is)-indeed painful when but not-even those tending(-one)
ὦσι, μεῖζον γίνεται τὸ δεινὸν, χαλεπωτέρα ἡ φλὸξ,
be greater becomes the terror more-grievous the flame
πικροτέρα ἡ ὀδύνη, ἀγριώτερος ὁ χειμὼν, σφοδρότερον τὸ
more-bitter the pain more-savage the storm more-violent the
κλυδώνιον, φλογωδεστέρα ἡ κάμινος. Εἰ δέ τις ἀκριβῶς
billow more-flaming the furnace if but someone exactly
ἐξετάσειε, καὶ ἕτερον τούτοις τέταρτον προσῆν, ἡ τοῦ
should-examine also another to-these fourth was-added the of-the
πλουτοῦντος ἐκ γειτόνων οἰκοῦντος ἄδεια καὶ τρυφή. Εἰ
rich(-man) from (the)-neighbors dwelling license and luxury if
δὲ βούλει τι καὶ πέμπτον ἄλλο εὑρεῖν ὑπέκκαυμα τῆς
but you-wish something also fifth other to-find kindling of-the
φλογὸς, καὶ τοῦτο ὄψει σαφῶς αὐτῷ περικείμενον.
flame also this you-will-see clearly on-him lying
Οὐ γὰρ δὴ μόνον ἐτρύφα ὁ πλούσιος ἐκεῖνος, ἀλλὰ καὶ
not for indeed only lived-in-luxury the rich(-man) that but also
δεύτερον καὶ τρίτον, μᾶλλον δὲ καὶ πλεονάκις τῆς ἡμέρας
(a)-second and (a)-third rather and even more-often of-the day
αὐτὸν ὁρῶν· παρὰ γὰρ τὴν εἴσοδον ἔῤῥιπτο, θέατρον
him seeing beside for the entrance be-was-cast (a)-theater
χαλεπὸν ἐλεεινῆς τραγῳδίας ὢν, καὶ τῇ ὄψει μόνον καὶ
grievous of-pitiable tragedy being and by-the sight only even
λιθίνην ἱκανὸς καταμαλάξαι ψυχήν· καὶ ὅμως οὐδὲ τοῦτο
(a)-stony sufficient to-soften soul and nevertheless not-even this
ἐπεσπάσατο τὸν ἀπάνθρωπον ἐκεῖνον εἰς τὴν τῆς πενίας
drew the inhuman that to the of-the poverty
ἐκείνης ἀντίληψιν· ἀλλ᾽ ὁ μὲν συβαριτικὴν παρετίθετο
that help but he indeed Sybaritic set-before(-himself)
τράπεζαν, καὶ κρατῆρας εἶχεν ἐστεμμένους, καὶ ἄκρατον
(a)-table and bowls had wreathed and unmixed(-wine)

ἁπλῶς ἐκχεόμενον, καὶ στρατόπεδα μαγείρων λαμπρὰ,
simply poured-out and armies of-cooks splendid
καὶ παρασίτους καὶ κόλακας ἅμα πρωΐ, καὶ χοροὺς
and parasites and flatterers at early-morning and choirs
ᾀδόντων, οἰνοχοούντων, γελωτοποιούντων· καὶ πᾶν εἶδος
singing pouring-wine making-laughter and every form
ἐπινοῶν ἀσωτίας, καὶ μεθύων καὶ κραιπαλῶν, καὶ στολῇ
devising of-profligacy and drunk and crapulous and in-dress
καὶ τραπέζῃ, καὶ ἑτέροις πλείοσι τρυφῶν ἅπαντα διετέλει
and table and in-other more(-ways) luxuriating all continued
τὸν χρόνον. Τοῦτον δὲ λιμῷ χαλεπῷ καὶ ἀῤῥωστίᾳ
the time this(-man) but by-hunger grievous and sickness
πικροτάτῃ, καὶ πολιορκίᾳ τοσούτων ἑλκῶν, καὶ ἐρημίᾳ, καὶ
most-bitter and by-siege of-so-many sores and desolation and
τοῖς ἐκ τούτων κακοῖς ὁρῶν καθ' ἑκάστην κατατεινόμενον
the from these evils seeing by each strained
τὴν ἡμέραν, οὐδὲ εἰς νοῦν ποτε ἐβάλλετο· ἀλλ' οἱ μὲν
the day not-even into mind ever did-he-take(-it) but the indeed
παράσιτοι, καὶ οἱ κόλακες καὶ ὑπὲρ τὴν χρείαν διεῤῥήγνυντο·
parasites and the flatterers even beyond the need burst
ὁ δὲ πένης, καὶ οὕτω πένης, καὶ ἐν τοσούτοις κείμενος
the but poor(-man) and so poor and in so-many lying
τοῖς κακοῖς, οὐδὲ ψιχίων ἐκ τῆς τραπέζης ἀπήλαυεν
the evils not-even of-crumbs from the table enjoyed
ἐκείνης, καὶ ταῦτα σφόδρα ἐπιθυμῶν· καὶ ὅμως οὐδὲν
that and that greatly desiring and nevertheless nothing
αὐτὸν τούτων παρέβλαψεν, οὐ ῥῆμα πικρὸν ἐξέβαλεν, οὐ
him of-these harmed not (a)-word bitter he-threw-out not
βλάσφημον ἐφθέγξατο λόγον· ἀλλ' ὥσπερ χρυσίον τῇ
blasphemous he-uttered word but as gold by-the
σφοδροτέρᾳ πυρώσει μειζόνως καθαιρόμενον λαμπρύνεται,
more-violent firing more-greatly purified is-made-bright

οὕτω δὴ καὶ ἐκεῖνος ὑπὸ τῶν παθημάτων τούτων
so indeed also he by the sufferings these
ἐνοχλούμενος, πάντων ὑψηλότερος ἦν καὶ τῶν παθῶν, καὶ
troubled than-all higher was both than-the passions and
αὐτῶν τῶν ἐντεῦθεν πολλοῖς τικτομένων θορύβων. Εἰ γὰρ
very the from-here for-many born alarms if for
ἁπλῶς πένητες πλουσίους ὁρῶντες τήκονται τῷ φθόνῳ,
simply poor(-men) rich(-men) seeing waste-away with-the envy
καὶ κατατείνονται τῇ βασκανίᾳ, καὶ τὸν βίον ἀβίωτον
and are-strained by-the malice and the life unlivable
νομίζουσιν εἶναι, καὶ ταῦτα τῆς ἀναγκαίας εὐποροῦντες
think to-be and that of-the necessary having-plenty
τροφῆς, καὶ θεραπεύοντας ἔχοντες· ὁ πένης οὗτος ὡς
food and tending(-them) having the poor(-man) this as
οὐδεὶς ἕτερος πένης ὢν, καὶ οὐχὶ πένης μόνον, ἀλλὰ
no other poor being and not poor only but
καὶ ἀσθενὴς, καὶ μηδένα ἔχων τὸν προστησόμενον καὶ
also weak and no-one having the(-one) going-to-protect(-him) and
παρακαλέσοντα, ἀλλ' ἐν μέσῃ τῇ πόλει καθάπερ ἐν
going-to-comfort(-him) but in (the)-middle of-the city as in
ἐσχάτῃ κείμενος ἐρημίᾳ, καὶ λιμῷ τηκόμενος πικροτάτῳ,
utmost lying desolation and with-hunger wasting most-bitter
καὶ πάντα ὁρῶν ἐκείνῳ καθάπερ ἐκ πηγῶν ἐπιῤῥέοντα,
and all-things seeing to-that(-one) as from springs flowing
καὶ ἀνθρωπίνης μὲν οὐδεμιᾶς ἀπολαύων παραμυθίας, ταῖς δὲ
and human indeed no enjoying comfort to-the but
τῶν κυνῶν γλώσσαις προκείμενος τράπεζα διηνεκὴς (οὕτω
of-the dogs tongues set-before (a)-table continual so
γὰρ ἦν τὸ σῶμα παρειμένος καὶ διαλελυμένος, ὡς μηδὲ
for was in-the body paralyzed and dissolved as not-even
ἐκείνους ἀποσοβεῖν δύνασθαι), τί οὐκ ἂν ἔπαθεν,
those to-shoo-away to-be-able what not — would-be-have-suffered

εἰ μὴ σφόδρα γενναῖος καὶ φιλόσοφος ἦν; Ὁρᾷς ὅτι
if not very noble and philosophic he-had-been do-you-see that
ὁ ἑαυτὸν μὴ ἀδικῶν, κἂν παρὰ πάντων ἀδικῆται, οὐδὲν
he(-who) himself not wronging even-if by all he-be-wronged nothing
πάσχει δεινόν; πάλιν γὰρ τὸν αὐτὸν ἀναλήψομαι λόγον.
suffers terrible again for the same I-will-take-up word
11 Τί γὰρ ἡ ἀῤῥωστία; τί δὲ ἡ ἐρημία τῶν προστησομένων;
what for the sickness what and the desolation of-those going-to-protect(-him)
τί δὲ ἡ ἔφοδος τῶν κυνῶν; τί δὲ τὸ γειτόνημα
what and the onset of-the dogs what and the neighborhood
τοῦ πλουσίου τὸ πονηρόν; τί δὲ ἡ πολλὴ χλιδὴ καὶ
of-the rich(-man) the evil what and the great luxury and
ὑπερηφανία, καὶ ἡ ἀπόνοια ἐκείνου τὸν ἀθλητὴν τοῦτον
arrogance and the desperation of-that(-man) the athlete this
παρέβλαψεν; ἢ μαλακώτερον πρὸς τὰ ὑπὲρ τῆς ἀρετῆς
harmed or softer for the for the virtue
ἐποίησε σκάμματα; τί δὲ αὐτοῦ τὴν εὐτονίαν ἐλυμήνατο;
made arenas what and his the vigor ruined
Οὐδὲν οὐδαμοῦ, ἀλλὰ καὶ μᾶλλον αὐτὸν ἐπέῤῥωσε, καὶ
nothing in-no-way but even more him strengthened and
μυρίων αὐτῷ στεφάνων ὑπόθεσις γέγονε, καὶ προσθήκη
of-countless for-him crowns (an)-occasion became and (an)-addition
βραβείων, καὶ πλεονασμὸς ἀντιδόσεως, καὶ μειζόνων
of-prizes and (an)-increase of-requital and of-greater
ἀμοιβῶν ὑπόθεσις τῶν δεινῶν τὸ πλῆθος ἐκεῖνο, καὶ ἡ
rewards (an)-occasion of-the terrors the multitude that and the
τοῦ πλουτοῦντος ὠμότης. Οὐ γὰρ δὴ διὰ τὴν πενίαν
of-the rich(-man) cruelty not for indeed for the poverty
ἐστεφανοῦτο μόνον, οὐδὲ διὰ τὸν λιμὸν, οὐδὲ διὰ τὰ ἕλκη,
was-be-crowned only nor for the hunger nor for the sores
οὐδὲ διὰ τὰς γλώσσας τῶν κυνῶν· ἀλλ' ὅτι τοιοῦτον
nor for the tongues of-the dogs but because such

γείτονα ἔχων, καὶ καθ' ἑκάστην ὁρώμενος ὑπ' αὐτοῦ τὴν
(a)-neighbor having and by each seen by him the
ἡμέραν, καὶ ὑπερορώμενος διηνεκῶς, τοῦτον ἤνεγκε γενναίως
day and overlooked continually this he-bore nobly
τὸν πειρασμὸν, καὶ μετὰ πολλῆς τῆς καρτερίας, καὶ τῇ
the trial and with much the hardiness both to-the
πενίᾳ καὶ τῇ ἀῤῥωστίᾳ, καὶ τῇ ἐρημίᾳ, οὐ μικρὰν,
poverty and to-the sickness and to-the desolation not small
ἀλλὰ καὶ σφόδρα εὐτονωτάτην συνεισφέροντα τὴν φλόγα.
but even very most-vigorous contributing the flame
Τί δὲ ὁ μακάριος Παῦλος, εἰπέ μοι; οὐδὲν γὰρ κωλύει
what and the blessed Paul tell me nothing for hinders
πάλιν ἐπιμνησθῆναι τοῦ ἀνδρός. Οὐχὶ μυρίας ἐδέξατο
again to-make-mention of-the man not countless did-he-receive
πειρασμῶν νιφάδας; Τί οὖν ἐντεῦθεν ἐβλάβη; Οὐκ
of-trials snowstorms what then from-here was-he-harmed not
ἐντεῦθεν μὲν οὖν καὶ μειζόνως ἐστεφανοῦτο, ὅτι ἐλίμωττεν,
from-here indeed then even more-greatly was-he-crowned that he-starved
ὅτι κρυμῷ καὶ γυμνότητι κατετήκετο, ὅτι μάστιξι πολλάκις
that by-frost and nakedness he-wasted that with-scourges often
κατεξαίνετο, ὅτι λίθοις ἐβάλλετο, ὅτι κατεποντίζετο;
he-was-torn that with-stones he-was-pelted that he-was-drowned
Ἀλλ' ἐκεῖνος Παῦλος ἦν, φησὶ, καὶ κλητὸς τοῦ Χριστοῦ.
but that(-man) Paul was he-says and called — of-Christ
Καίτοι καὶ Ἰούδας εἷς τῶν δώδεκα ἦν, καὶ κλητὸς καὶ
and-yet also Judas one of-the twelve was and called also
αὐτὸς τοῦ Χριστοῦ· ἀλλ' οὔτε τὸ εἶναι τῶν δώδεκα, οὔτε
he — of-Christ but neither the to-be of-the twelve nor
ἡ κλῆσις αὐτὸν ὤνησεν, ἐπειδὴ γνώμην οὐκ εἶχε πρὸς
the calling him profited since (a)-mind not he-had for
ἀρετὴν παρεσκευασμένην. Ἀλλ' ὁ μὲν Παῦλος καὶ λιμῷ
virtue prepared but — indeed Paul even with-hunger

παλαίων, καὶ τῆς ἀναγκαίας ἀπορῶν τροφῆς, καὶ τοσαῦτα
wrestling and the necessary lacking food and so-many
καθ' ἑκάστην πάσχων τὴν ἡμέραν, μετὰ πολλῆς τῆς
by each suffering the day with much the
προθυμίας τὴν εἰς οὐρανὸν φέρουσαν ἔτρεχεν ὁδόν· ἐκεῖνος
eagerness the to heaven leading he-ran road that(-one)
δὲ καὶ πρὸ τούτου κληθεὶς, καὶ τῶν αὐτῶν ἀπολαύσας
but even before this called and the same having-enjoyed
ὧνπερ καὶ αὐτὸς, καὶ μυηθεὶς τὴν ἀνωτάτω φιλοσοφίαν,
which also he and initiated-into the highest philosophy
καὶ τραπέζης μετασχὼν ἱερᾶς καὶ τῶν φρικωδεστάτων
and of-(the)-table having-partaken sacred and of-the most-awesome
ἐκείνων δείπνων, καὶ χάριν λαβὼν τοσαύτην ὡς καὶ
those suppers and grace having-received so-great as even
νεκροὺς ἐγείρειν, καὶ λεπροὺς καθαίρειν, καὶ δαίμονας
(the)-dead to-raise and lepers to-cleanse and demons
ἐλαύνειν, καὶ τοὺς περὶ ἀκτημοσύνης πολλάκις ἀκούσας
to-drive-out and the about poverty often having-heard
λόγους καὶ αὐτῷ τοσοῦτον χρόνον συγγενόμενος τῷ
words and very so-long (a)-time having-been —
Χριστῷ, καὶ τῶν πενήτων τὰ χρήματα πιστευθεὶς, ὥστε
